1. Συνέσιος] Synes. Catast. p. 301 C. 2. Ὅμηρος] Hom. Il. Δ, 521. unde ἀμφοτέρω δὲ τένοντε restituendum. 2. λάας cod., λᾶας ed. pr. 3. 4. ἀπηλλοίησεν cod., ἀπηλοίησεν ed. pr. 5. βουλόμενον τέ cod., βουλόμενόν τι ed. pr. 7. 8. στῆτ' αὐτοῦ ἀντὶ τοῦ ἐκεῖσε ed. pr., στῆτ' αὐτοῦ. καὶ αὐτοῦ ἀντὶ τοῦ ἐκεῖσε cod. 8. Θουκυδίδης] Thuc. II, 81, 8. 10. Ἀριστείδης] Aristid. vol. 1 p. 825. 12. ἀντὶ τοῦ ed. pr., ἀντὶ τῆς cod. 15—18. cf. Lex. rhet. post Phot. ed. p. 663, 19.

15. πέντε] quattuor tantum σημασίαι commemorantur epitomatoris culpa. Ὅμηρος] Il. Υ, 33. Ἥρα ed. pr., Ἥρη cod. 16. τὸ ἆθλον] τὸν ἆθλον H. Stephanus in Thes. Gr. L. θεῖον δύσονται ἀγῶνα] Hom. Il. H, 298. 17. λείηναν — ἀγῶνα] Hom. Od. Θ, 260. unde χῶρον in χορόν mutandum. 17. 18. λῦτο δ' ἀγών] Hom. Il. Ω, 1. 19. Δημοσθένης] immo Ar. Ach. 114: ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν πρέσβεων.

τώμεθα ὑπὸ τῶν πρέσβεων. καὶ ἄλλως ἀντὶ τοῦ ἀλλοτρόπως. καὶ ἅλως τὸ ἀλώνιον καὶ κλίνεται ἅλω ἀττικῶς, καὶ πληθυντικῶς ἅλως. καὶ τὰς ἅλως ἐνέπρησαν.

183. ἀνατείνας ἀντὶ τοῦ ἀνεγείρας. καὶ ἀνατείνας ἀντὶ τοῦ προτρέπων. Λιβάνιος· ἀφῆκε δέ με οὐδεὶς ταῦρον ἢ κάπρον προσάγειν ἀνατείναντες. ἀνατεινόμενος ἀντὶ τοῦ ἀνεγειρόμενος. καὶ ἀντὶ τοῦ ἀπειλῶν· ὅπερ καὶ δοτικῇ συντάσσεται. Συνέσιος· ἀνατεινόμενοι δὲ τοῖς ἱερεῦσι τοῦ θεοῦ ταῦτα.

184. ἀφορίζων ἀντὶ τοῦ ἐκλέγων, καὶ ἀντὶ τοῦ ἐκβάλλων, καὶ ἀντὶ τοῦ ἀφορισμοὺς φθεγγόμενος. Συνέσιος· σοὶ δὲ οὐ θέμις Ἱπποκράτην αὐχοῦντι, ὃς ἀφορίζων ἔφη τὴν ἔνδειαν ὑγείας εἶναι μητέρα.

185. ἀναλύει ἀντὶ τοῦ συμπλοκάς τινων πραγμάτων ἐξ ἀρχῆς διαλύει. ὅθεν καὶ ἀναλυτικὰ παρὰ Ἀριστοτέλει. καὶ ἀναλύει ἀντὶ τοῦ ἐπανέρχεται. Συνέσιος· κἂν αἰσχρῶς ἀνέλυσεν ἐπὶ Κιλικίας Ἀλέξανδρος. καὶ ἀνέλυσεν ἀντὶ τοῦ ἀνέπτυξε. Προκόπιος· ὡς δὲ τὴν ἐπιστολὴν ἀναλύσας ἐσκόπουν.

186. ἀπελεύθερος ὁ ἀπὸ δουλείας λυθείς, ἐλεύθερος δὲ ὁ μὴ εἰς δουλείαν ἐλθών.

---

2. καλεῖται ed. pr., κλίνεται, quod coniectura quivis et poterat assequi et debebat, clare scriptum praebet codex. 4. ἀνατείλας utroque loco ed. pr., ἀνατείνας cod. 5. Λιβάνιος] Liban. Decl. vol. 4 p. 659, 18. ἀφῆκεν ed pr., ἀφῆκε cod. 6. ἀνατείλαντες ed. pr., ἀνατείναντες cod., ἀναπείσαντες Liban. quae sequuntur ἀνατεινόμενος — τοῦ θεοῦ ταῦτα (6—8) in ed. pr. singularem articulum efficiunt, codex cum prioribus verbis coniungi iubebat. 7. Συνέσιος] Synes. Epist. 58 p. 201 D. ἀνατενόμενοι ed. pr., ἀνατεινόμενοι cod., ἀνατεινόμενος Synes. 9. verba καὶ ἀντὶ τοῦ ἐκβάλλων om. ed. pr.
10. Συνέσιος] Synes. Epist. 115 p. 255 B. 11. ἔφη τὴν ἔνδειαν] τὴν ἔνδειαν ἔφη Synes. 13. συμπλοκάς τινῶν cod. ἐξαρχῆς ed. pr., ἐξ ἀρχῆς cod. 14. παρ' Ἀριστοτέλει ed. pr. 15. ἐπανέργεται cod., ἐπανέρχεται ed. pr. Συνέσιος] Synes. Calv. enc. c. 16 p. 80 A.

187. ἀντιπαρεξάγοντες ἀντὶ τοῦ συγκρίνοντες. Δίων· οὐκ ἄλλως ἀντιπαρεξάγοντες αὐτοῖς.

188. ἀνακλητικὸν ἐπὶ σάλπιγγος, ὅταν ἀναχωρῇ τοῦ πολέμου κελεύηται τοῖς στρατεύμασι. Συνέσιος· κελεύει μὲν τὸ ἀνακλητικὸν ἠχῆσαι τὰς σάλπιγγας, ἀπαγαγὼν δὲ ὡς πορρωτάτω καὶ καθίσας ἐν καλῷ τὸν στρατὸν ἐπαφίησιν αὐτῷ τοὺς κουρέας.

189. ἀπήντηκα ἀντὶ τοῦ ἁπλῶς ἦλθον. Θεολόγος· εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος. καὶ ἀπήντηκα πρὸς τὸ δικαστήριον. καὶ ἀπήντηκα τὸν πολέμιον.

190. ἀνέπνευσεν ἐκ τῆς νόσου ἀντὶ τοῦ ἀνεκουφίσθη. καὶ ἀνέπνευσε τὸν δεῖνα ἀντὶ τοῦ πνοὴν καὶ ζωὴν ἔσχε τὸν δεῖνα. Θεολόγος· καὶ μηδὲν ἕτερον ἀναπνεύσαντι ὅτι μὴ λόγον εὐσεβῆ. καὶ Χρυσόστομος· ἀναπνέω σε, Παῦλε.

191. ἀρχὴ ἡ ἐξουσία. ἀρχὴ ἄνδρα δείκνυσι. καὶ ἀρχὴ ἡ προκάταρξις. καὶ ἀρχὴ ἡ αἰτία. Θεολόγος· ἡ γὰρ ἁγία τῶν φώτων ἡμέρα ἀρχὴν μὲν τὸ τοῦ ἐμοῦ Χριστοῦ βάπτισμα λαμβάνει.

192. ἀπομάττομαι τὸ ἀνιμῶμαι, προσμάττω δὲ τὸ μιγνύω ἐπὶ προσπτύξεως λεγόμενον. Ἰουλιανός· διὰ τοῦτο οἶμαι γλυκερωτέροις χείλεσι χείλη προσμάττειν.

193. ἄκαρτος ὁ μὴ κεκαρμένος, καὶ οὐκ ἄκειρος ἢ ἀκείρατος. Ἰουλιανός· ἄκαρτος καὶ βαθυγένειος εἰσέδραμον.

194. ἀποτρέχει ἀντὶ τοῦ ἐκφεύγει. καὶ ἀποτρέχει ἀντὶ τοῦ

---

1. Δίων] Dio Chrys. Orat. VII, 98 (vol. 1 p. 130, 24 ed. L. Dind.). 2. αὐτοῖς] ἐκείνοις Dio Chrys. 4. Συνέσιος] Synes. Calv. enc. c. 16 p. 80 A. τὸ om. Synes. 5. ἀπαγαγών δε cod., ἀπαγαγὼν δὲ ed. pr. 7. Θεολόγος] Greg. Naz. Orat. XX p. 317 B. 11. Θεολόγος] Greg. Naz. Orat. XX p. 317 D. 15. Θεολόγος] Greg. Naz. Orat. XXXIX p. 624 B. cuius verba hoc loco in brevius contracta sunt. 16. τὸ om. ed. pr., codex agnoscit. 18. Ἰουλιανός] Iulian. Misop. p. 338 D. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 20. ἄκειρος et ἀκείρατος dici vetat lexicographus. atque ἀκείρατος e codice Baroicciano 95 affert Cramer in Thes. Gr. L., ἄκειρος ignotum est et fortasse mutandum in ἄκουρος. 21. Ἰουλιανός] Iulian. Misop. p. 349 C.

καταφεύγει καὶ προστρέχει. ὁ μέγας Βάσίλειος· πείσωμεν ἑαυτούς, ἀδελφοί, ἐν καιρῷ πειρασμοῦ μὴ πρὸς ἀνθρωπίνας ἐλπίδας ἀποτρέχειν.

195. ἀνάγωγον τὸ ἀναπεπτωκὸς καὶ ῥᾴθυμον. Φίλων· καὶ ἀναγώγοις καὶ ἄφροσιν οἰκέταις φοβερὸς δεσπότης ὠφέλιμος.

196. ἄλλοσε ἀντὶ τοῦ εἰς ἄλλον τόπον. Θουκυδίδης· εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ Κέρκυραν ἢ ἄλλοσε εἴ πῃ βουλόμεθα πλεῖν.

197. ἀνοικίζειν ἐναντίον τοῦ οἰκίζειν. Θουκυδίδης· καὶ οἱ μὲν ἀνῴκιζον τότε καθαιροῦντες τὰς πόλεις καὶ ἐς πόλεμον παρεσκευάζοντο.

198. ἀνέῳγεν ἕτερος. Ἡρόδοτος· οὐκ ἂν νεκρῶν θήκας ἀνέῳγας.

199. ἀπάγει τοῦ δεῖνος τὸν δεῖνα ἀντὶ τοῦ διιστᾷ. καὶ ἀπάγει τὸν δεῖνα τῷ δεῖνι ἀντὶ τοῦ κομίζει. καὶ ἀπάγει τὸν δεῖνα παρὰ τὸν δεῖνα. Ἡρόδοτος· συλλαβόντες ἀπάγετε παρ' ἐμέ.

B.

1. βαρύνω ἐπὶ συζυγίας πέμπτης τῶν βαρυτόνων, ἐπὶ φόρτου. θεολόγος· ἢ τοὺς μισθοὺς βαρύνοντες. καὶ βαρῶ ἐπὶ πρώτης συζυγίας τῶν περισπωμένων. Ἰουλιανός· ἐβάρησαν δὲ τὸ κοινὸν τοῖς ἰδίοις ἀναλώμασι.

---

4. Φίλων] Philo Iud. vol. 2 p. 673 ed. M. 6. Θουκυδίδης] Thuc. I, 53, 2. 7. ὑμᾶς cod., ἡμᾶς scripsi e Thuc. εἴ πῃ] εἴ ποι Thuc.
9. Θουκυδίδης] Thuc. I, 58, 2. 10. ἀνῴκιζον τότε] ἀνῳκίζοντό τε Thuc. 10. 11. κατεσκευάζοντο ed. pr., παρεσκευάζοντο cod.
12. Ἡρόδοτος] Herodot. I, 187, 3. 13. ἀνέῳγας] ἀνέῳγες recte in Herodoto scribitur. 18. θεολόγος] Greg. Naz. Orat. XL p. 644 B: ἢ τοὺς μισθοὺς βαρύνων ταῖς ὑποχωρήσεσιν. καὶ addidi e cod., om. ed. pr. 19. Ἰουλιανός] Iul. Misop. p. 369 C. ἐβάρησαν] ἐβάρυναν in Iul. ed., sed ἐβάρησαν v. l.

2. βιβλίον καὶ ἡ ἐπιστολή. Ἰουλιανός· ὃς ὑπὸ ἀφροσύνης οὐ συνῆκα ποταπὸν ἐξ ἀρχῆς τὸ τῆσδε τῆς πόλεως ἦθος, καὶ ταῦτα τῶν ἡλικιωτῶν τῶν ἐμῶν, ὡς ἐμαυτὸν πείθω, βιβλία ἀνελίξας.

3. βοὴ καὶ ἐπὶ ἐπικροτήσεως λέγεται. Χρυσόστομος· εἰπέ μοι, παρακαλῶ, τί τὸ κέρδος; καὶ γὰρ καὶ παρ' ἐκείνοις ἐφήμερος ἡ δόξα καὶ ἡ βοή.

4. βρίθει ἀντὶ τοῦ βαρύς ἐστι. καὶ βρίθει τὸ δένδρον τοῖς καρποῖς ἀντὶ τοῦ βαρύνεται.

5. βρύχει τοὺς ὀδόντας ἄνθρωπος, βρυχᾶται δὲ λέων.

6. βιβλιοπώλης γράφεται, οὐχὶ βιβλιοπῶλος.

7. βάλλει ἀντὶ τοῦ ἁπλῶς βέλη ἀφίησι. καὶ βάλλει ἀντὶ τοῦ εὐστοχεῖ κατὰ σκοπόν. καὶ βάλλει ἀντὶ τοῦ εἰσάγει. καὶ βάλλει θεμέλιον ἀντὶ τοῦ τίθησι. Χρυσόστομος· ἵνα αὐτοῖς ἐκ κρηπῖδος καλὸς θεμέλιος βάλληται.

8. βάραθρον ὄρυγμα, εἰς ὃ ὁ δῆμος τῆς Ἱπποθοωντίδος τοὺς ἐπὶ θανάτῳ κατακρίτους ἐνέβαλλον.

9. βέλτιον ἐπὶ ψυχῆς, ἄριστον ἐπὶ σώματος.

10. βασιλίζει ἀντὶ τοῦ βασιλείας ἐφίεται· ἐκ τούτου γὰρ καὶ

---

1. Ἰουλιανός] Iul. Misop. p. 346 sq. 2. ἐξαρχῆς ed. pr., ἐξ ἀρχῆς cod. τῆσδε τῆς] τῆς in Iul. ed., sed τῆς δὲ τῆς e cod. Vossiano annotatur. 3. ἐμῶν ed. pr., τῶν ἐμῶν cod. cum Iuliano. 4. ἐπὶ κροτήσεως ed. pr., ἐπὶ ἐπικροτήσεως cod. 11. 12. verba καὶ βάλλει ἀντὶ τοῦ εὐστοχεῖ κατὰ σκοπόν codex nobis suppeditavit, ed. pr. om. 14. βάληται cod. 15. 16. ex Harpocr. p. 43, 7. ubi haec accedunt: Δημοσθένης δὲ ἐν Φιλιππικοῖς οὐ κυρίως αὐτὸ λέγει, ἀλλ' ἐκ μεταφορᾶς, οἷον ἐν τῷ ὀλέθρῳ. 15. Ἱπποθοντίδος cod., Ἱπποθοωντίδος ed. pr. ceterum verba ὁ δῆμος τῆς Ἱπποθοωντίδος ab hac glossa aliena esse verissime viri docti indicaverunt. «non dubitandum videtur», ait Dindorfius, «quin ὁ δῆμος τῆς Ἱπποθοωντίδος alius glossae reliquiae sint quae in vicinia posita fuit. ea vix alia esse potest quam Ἀχερδοῦς, quem pagum tribus fuisse constat Hippothontidis». 17. βέλτιον] βέλτιστον malim, cf. quae supra p. 23, 5 leguntur.

βασιλειᾷ ἐπὶ μέλλοντος. Ἰώσηπος· ἡ θεραπαινὶς ἐξυβρίζειν εἰς τὴν Σάρραν ἐτόλμησε βασιλίζουσα.

11. βραδύτερον λέγουσιν οἱ Ἀττικοί, οὐχὶ βράδιον.

12. βασανίζει ἀντὶ τοῦ κολάζει. καὶ βασανίζει ἀντὶ τοῦ δοκιμάζει.

13. βακχεύει ἀντὶ τοῦ μαίνεται· ἐκβακχεύει δὲ ἕτερον ἀντὶ τοῦ μαίνεσθαι ποιεῖ.

14. βράζει τὸ ὕδωρ ἀμετάβατον· ἀναβράζει δὲ ἕτερος τὸ ὕδωρ μεταβατικῶς.

15. βόλος τὸ δίκτυον. καὶ βόλος τὸ βληθὲν ἐν τῷ δικτύῳ. Πλούταρχος· Κῴων, ὥς φασί, καταγόντων σαγήνην καὶ ξένων ἐκ Μιλήτου πριαμένων τὸν βόλον οὔπω φανερὸν ὄντα.

16. βρυχᾶσθαι οὐ μόνον ἐπὶ λέοντος λέγεται, ἀλλὰ καὶ ἐπὶ ἀγρίων ζῴων ἑτέρων, ἐφ' ὧν ἴδιον οὐκ ἔστιν ὄνομα τῆς φωνῆς, οἷον ἄρκτου, παρδάλεως, πάνθηρος.

17. βρεχμὸς καὶ βρέγμα κοινῶς λέγεται.

18. βράγχος ἡ περὶ τὸν φάρυγγα νόσος· βράχος ἡ θαλασσία πέτρα. Θουκυδίδης· αἱ δὲ καὶ ἐς βράχεα ἀπειρίᾳ χωρίων ὤκειλαν.

---

1. βασιλειᾷ ἐπὶ μέλλοντος] confundere videtur lexicographus verba βασιλίζειν et βασιλειᾶν. Ἰώσηπος] Ioseph. Ant. I, 10, 4 vol. 1 p. 35, 19. 3. βράδιον] de hac forma ab Atticis scriptoribus aliena v. Thes. Gr. L. vol. 2 p. 392. 9. δὲ e codice addidi, om. ed. pr. 10. ἐν τῷ δικτύων cod., ἐν τῷ δικτύῳ ed. pr. erunt fortasse qui ἐντὸς δικτύων malint. 11. Πλούταρχος] Plut. Sol. c. 4. Κῴων] Κῴων γὰρ Plut. 13. μὴ μόνον cod. 18. Θουκυδίδης] Thuc. II, 91, 4. βράχεα] substantivum τὰ βράχεα, quod non scopulos, sed vada significat, errori debetur noviciorum scriptorum, qui βραχέα in βράχεα et βράχη mutaverunt: qua de re vide locos a Lobeckio in Phryn. p. 536 sq. allatos. nihilo minus in Thucydide falsum accentum βράχεα etiam nunc tolerari videmus. eundem errorem commiserunt qui ex Homerico ταρφέσιν ὕλης substantivum τάρφος, cuius testem habemus nullum, temere fingerent et temere fictum absurde defenderent. cf. quae diximus in Aristoph. Byz. p. 225. quid? quod ex εὐθέος εὐ-

19. βρέχει ἐπὶ ὑετοῦ, διαβρέχει δὲ τὸ ἱμάτιον.

20. βλῆμα τὸ τραῦμα τὸ ἀπὸ τοῦ βέλους. Ἡρόδοτος· ἀνασχίζειν αὐτὸν κελεύει καὶ σκέπτεσϑαι τὸ βλῆμα.

21. βρόμος ὁ ἦχος τοῦ πυρός· καὶ βρόμος τὸ σπειρόμενον, ὃ κοινῶς βρόμη καλεῖται. ὁ μέγας Βασίλειος· διὰ τοῦτο ὁ μὲν βρόμος διόλου κενός, ἅτε μηδενὶ τὴν κεφαλὴν βαρυνόμενος.

22. βοσκήματα τὰ ϑρέμματα, τὰ ποιητικῶς καλούμενα βοτά. Ἰώσηπος· διῆγεν αὐτόϑι ποιμαίνων τὰ βοσκήματα.

23. βρομᾶσϑαι καὶ ὀγκᾶσϑαι ἄμφω ἐπὶ ὄνου λέγονται.

24. βύειν ἀντὶ τοῦ ἐμφράττειν οὐ μόνον ἐπὶ ἀκοῶν λέγεται, ἀλλὰ καὶ ἐπὶ στόματος. Λιβάνιος· συστρέψας τὸ ἡμιτύβιον ἔβυσα τὸ στόμα.

25. βουλεύων ἀντὶ τοῦ βουλὰς λέγων. Ἀριστοφάνης· κκᾶν πράττων καὶ βουλεύων. καὶ βουλεύων ἀντὶ τοῦ ὑποϑέμενος. Συνέ-

---

ϑέων similibusque formis Byzantini homines ad inauditum veteribus adiectivum εὐϑής fingendum delapsi sunt, quam formam a Bernhardyo in Suid. v. ἄξιον suspectari miramur. ac si ὀξέων συμφορῶν scripsit Heraclitus Alleg. Hom. c. 8 p. 16, sicut ταῖς μὲν ὀξέσι τῶν ψυχῶν et ταῖς βραδέσι Stobaeus Ecl. phys. p. 1086, et βραχέσι σημειώσεσιν Eusebius c. Marcellum p. 2 D, non dubium est quin adiectivorum in ής terminatorum similitudinem secuti sint.

2. τὸ τρῶμα cod. Ἡρόδοτος] Herodot. III, 35, 2. 3. κελεύει καὶ σκέπτεσϑαι] κελεύειν καὶ σκέψασϑαι Herod. 5. βρόμη] fortasse βρόμιον leg., cf. Eust. Il. p. 919, 39: Παυσανίας δὲ βρόμον λέγει καὶ σπέρμα λεπτῇ κριϑῇ ὅμοιον, τὸ κοινῶς δηλαδὴ λεγόμενον βρόμιον. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 8. Ἰώσηπος] Ioseph. Ant. II, 12, 1 vol. 1 p. 110, 24. 9. βρομᾶσϑαι] malim βρωμᾶσϑαι, sed codicis scriptura defenditur auctoritate quamvis futili Herod. Epim. a Boissonadio edit. p. 9. ἄ...ω ed. pr., ἄμφω restitui. in codice literarum μ et φ non supersunt nisi exilia quaedam vestigia. 11. Λιβάνιος] Liban. Decl. vol. 4 p. 146, 20. ubi ἡμιτύμβιον scribitur errore satis vulgari. 13. Ἀριστοφάνης] Ar. Nub. 419. 14. Συνέσιος] Synes. Epist. 44 p. 181 D.

σιος· οὐ πράξας, ἀλλὰ βουλεύσας τὸν φόνον. βουλεύομαι δὲ ἀντὶ τοῦ σκέπτομαι, ὡς Εὐριπίδης· ἄκουσον δ' ὡς καλῶς βουλεύομαι. καὶ βουλεύομαι ἀντὶ τοῦ βουλὰς δέχομαι καὶ ἀντὶ τοῦ βουλὰς δίδωμι ἀττικῶς.

Γ.

1. γεγονὼς ἀντὶ τοῦ ὑπάρξας. καὶ γεγονὼς ἀντὶ τοῦ γεννηθείς. Μάξιμος· ἀδικεῖ Ἀναξαγόρας γεγονὼς μὲν ἐν τῇ Κλαζομενίων γῇ καὶ πόλει, καὶ μετασχὼν ἱερῶν καὶ ὁσίων καὶ νόμων καὶ τροφῆς καὶ τῶν ἄλλων ὧν καὶ οἱ λοιποὶ Κλαζομένιοι, ἐπαναχωρῶν δὲ ὥσπερ ἐκ θηρίων. καὶ γεγονὼς ὁ ὑπάρξας. καὶ γεγονὼς ὁ ἐλθών.

2. γυνὴ καὶ ἐπὶ τῆς παρθένου λέγεται. Εὐριπίδης εἰσάγει τὴν Ἠλέκτραν πρὸς τὸν Ὀρέστην λέγουσαν· ἢν σὺ κατθάνῃς, ἐγὼ γυνὴ τί δράσω μόνη;

3. γῆμαι ἐπὶ ἀνδρὸς λέγεται, γήμασθαι δὲ ἐπὶ γυναικός.

4. γρὺ τὸ μικρότατον καὶ εὐτελέστατον, παρὰ Ἀριστοφάνει καὶ Λιβανίῳ· οὐδ' ἀνόητός τις ἐγὼ ὥστε γρὺ τῶν ἐμῶν τοῦτον λαβεῖν.

5. γνωρίζω ἀντὶ τοῦ γινώσκω. Θεολόγος· γνωρίσωμεν ἡμῶν τὸ ἀξίωμα. καὶ γνωρίζω τὸ γνώριμον καὶ δῆλον ποιῶ. Προκόπιος· ἐγνώρισε γάρ μοι τοῦτον ἡ πεῖρα. καὶ Ἱμέριος· καὶ Φρυγίαν Αἴσωπος ἐς μόνον τὸν μῦθον ἐγνώρισε.

---

2. Εὐριπίδης] Eur. Or. 1131. 6. Μάξιμος] Max. Tyr. XXII, 1 vol. 1 p. 418. 9. δε sine accentu cod., δὲ ed. pr. 10. Εὐριπίδης] Eur. Or. 308 sq.: ἢν σὺ κατθάνῃς, γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι; 14. γρὺ] rectius γρῦ scripseris. Ἀριστοφάνει] Ar. Plut. 17: ἀποκρινόμενος τὸ παράπαν οὐδὲ γρῦ. 15. Λιβανίῳ] Liban. Decl. vol. 4 p. 615, 20. γρὺ τῶν ἐμῶν] γρύ τι τῶν ἐμῶν in Libanio editur. 16. Θεολόγος] Greg. Naz. Orat. XLI p. 674 B. γνωρίσω μὲν ed. pr., γνωρίσωμεν cod. et Greg. Naz. 17. Προκόπιος] Procop. Gaz. Epist. 28 in Maii Class. auct. vol. 4 p. 223: ἐγνώρισε γάρ μοι τοῦτον πολλάκις ἡ φήμη· νυνὶ δὲ μᾶλλον ἐθαύμασα τῇ πείρᾳ μαθών.

18. Ἱμέριος] Himer. Orat. XXIX, 4: καὶ Φρυγίαν Αἴσωπος...., qui locus verbis ἐς μόνον τὸν μῦθον ἐγνώρισε iam erit locupletandus.

6. γελῶ ἐπὶ τοῦ κατὰ φύσιν γέλωτος. γελῶ δὲ μεταβατικῶς χωρὶς προθέσεως ἕτερον. καταγελῶ δὲ ἑτέρου.

7. γίνομαι καὶ συγγίνομαι τῷ δεῖνι. περιγίνομαι δὲ τοῦ δεῖνος ἀντὶ τοῦ νικῶ. ἐξεγένετο δέ μοι τοῦ πράγματος ἀντὶ τοῦ ἄδειά μοι δέδοται.

8. γράφω τὸ ζωγραφῶ, καὶ συντάσσεται αἰτιατικῇ· τὸ ἐπιστέλλω, καὶ συντάσσεται δοτικῇ· καὶ γραψάμενος ἐπὶ μέσου ἀορίστου ἀντὶ τοῦ κατηγορήσας. Συνέσιος· ἐγράψατό τις αὐτόν. καὶ πάλιν· ἂν γράψωμαί σε φιλίας ἀδικουμένης. καὶ γράφω παρ' Ὁμήρῳ ἀντὶ τοῦ ξύω.

9. γραμματίον τὸ μικρὸν γράμμα. Συνέσιος· ἐμοῦ δέ τι μεταξὺ λέγειν ἐπιχειροῦντος ἀναδείκνυται γραμμάτιον ἀνὰ μέσον τοῦ πλήθους. γραμματεῖον δὲ τὸ κατάστοιχον. Ἀριστοφάνης· ἅπτε παῖ τὸν λύχνον κἄκφερε τὸ γραμματεῖον. καὶ γραμματεῖα τὰ τοῦ Ὁμήρου γράμματα.

10. γεννᾶν καὶ ἐπὶ ἀνδρὸς λέγεται, τεκεῖν δὲ ἐπὶ γυναικός. ἐνίοτε δὲ καὶ ἐπὶ ἀνδρός. Σοφοκλῆς· σὺ δ' ἐμπολήσας ἢ τεκὼν μ' αὐτῷ δίδως.

---

4. verba τοῦ πράγματος post ἄδειά μοι collocanda suspicor.
8. Συνέσιος] Synes. Epist. 47 p. 186 D. 9. πάλιν] Synes. Epist. 60 p. 203 D. ἂν] ἢν in Synes. ed., sed ἂν v. l., cui patrocinatur Thomas Mag. p. 281, 11. 10. Ὁμήρῳ] Il. Z, 169: γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά. P, 599: γράψεν δέ οἱ ὀστέον ἄχρις αἰχμὴ Πουλυδάμαντος. 11. Συνέσιος] Synes. Epist. 67 p. 209 B.
12. ἀναμέσον cod., ἀνὰ μέσον ed. pr., ἐκ μέσου Synes. 13. κατάστοιχον vitiosa videtur scriptura. Ἀριστοφάνης] Ar. Nub. 18 sq.
14. τὸ λύχνον ed. pr., τὸν λύχνον codex (cf. supra A, 115 p. 21, 15), λύχνον Ar. 16. γεννῶν ed. pr., γεννᾶν cod. 17. ἐνιότε ed. pr., ἐνίοτε cod. Σοφοκλῆς] Soph. Oed. R. 1025. ἢ in codice ex ἢ factum est. τεκὼν μ' ed. pr. ceterum τεκών, in quo libri Sophoclis consentiunt, nemo nunc dubitat quin errori debeatur. ac plerique Bothii inventum τυχών comprobant, κιχών μέ που nuper suasit Heimsoethius *Krit. Studien zu den Griechischen Tragikern* I p. 29. 18. αὐτὴν ed. pr., αὐτ cod. cum compendio parum perspicue scripto, quo

11. γινώσκω σοι χάριν ἀντὶ τοῦ εὐχαριστῶ σοι. καὶ οἶδα καὶ ἐπίσταμαι καὶ ὁμολογῶ.

12. γέλωτα ἔθηκε τὸν δεῖνα ἀντὶ τοῦ καταγέλαστον ἐποίησεν. Ἡρόδοτος· γέλωτά με ἔθευ.

13. γεύομαι. καὶ γεύω ἕτερον ἐνεργητικῶς. Ἱμέριος· ἀττικῆς ὑμᾶς σύριγγος γεύσωμεν.

14. γένεσις κατὰ πέντε τρόπους· κατὰ μετασχηματισμόν, ὡς ἡ σφαῖρα ἀνδριάς· κατὰ πρόσθεσιν, ὡς τὰ αὐξανόμενα· κατὰ ἀφαίρεσιν, ὡς ὁ λίθος γλυφόμενος γίνεται Ἑρμῆς· κατὰ σύνθεσιν, ὡς οἰκία ἐκ τῶν λίθων· κατὰ ἀλλοίωσιν, ὡς τὰ τρεπόμενα· κατὰ ὕλην, ὡς τὰ σπέρματα τῶν ζῴων.

15. γελοῖος ὁ καταγέλαστος· γέλοιος ὁ γελωτοποιός.

16. γνώμη ἡ βουλή. Ἀριστοφάνης· γνώμας οὐδεὶς νικήσει πλείονας ἢ σύ. γνώμη καὶ ἡ διάθεσις, ὅθεν καὶ εὐγνώμων καὶ κακογνώμων. καὶ γνώμη ὁ γνωμικὸς λόγος. καὶ γνώμη καὶ ἡ πεῖρα, ὅθεν καὶ ἀργυρογνώμων.

17. γοργὸν οἱ Ἀττικοὶ οὐ τὸ σύντομον λέγουσιν, ἀλλὰ τὸ καταπληκτικόν. Ξενοφῶν· γοργότεροί θ' ὁρᾶσθαι καὶ φοβερώτεροι φθέγ-

---

potest αὐτοῦ significari, αὐτὴν non potest. hinc αὐτῷ ex Sophocle restituendum duxi. δίδως ed. pr. codice invito.

4. Ἡρόδοτος] Herodot. VII, 209, 2. ἔθου ed. pr., ἔθευ codex sicut Herodotus. 5. Ἱμέριος] Himer. Orat. V, 2. 6. ἡμᾶς cod., ὑμᾶς Himer. 7. verba κατὰ μετασχηματισμόν, ὡς ἡ σφαῖρα ἀνδριάς om. ed. pr., addidi e cod. 10. κατατρεπόμενα ed. pr., ὡς τὰ τρεπόμενα cod. 10. 11. verba κατὰ ὕλην, ὡς τὰ σπέρματα τῶν ζῴων delenda esse suspicor. 12. de accentu γελοῖος et γέλοιος grammatici veteres dissentiunt, qua de re dixit G. Dindorfius in Thes. Gr. L. vol. 2 p. 555. 13. Ἀριστοφάνης] Ar. Nub. 432. 14. 15. verba γνώμη καὶ ἡ διάθεσις — γνωμικὸς λόγος in ed. pr. ordine leguntur confuso hunc in modum: καὶ γνώμη ὁ γνωμικὸς λόγος. γνώμη καὶ ἡ διάθεσις, ὅθεν καὶ εὐγνώμων καὶ κακογνώμων· ego codicem secutus sum.
15. ἡ πεῖρα ed. pr., καὶ ἡ πεῖρα cod. 17. 18. καταπλητικόν cod., καταπληκτικόν ed. pr. 18. Ξενοφῶν] Xen. Symp. 1, 10. γορ-

γεσθαι. καὶ Δίων· καὶ ὃς ἀνέβλεψεν εἰς αὐτὸν γοργὸν ὥσπερ οἱ λέοντες.

18. γὰρ σύνδεσμος λαμβάνεται καὶ ἀντὶ τοῦ δή. Ἀφθόνιος· Διογένης μειράκιον ἑωρακὼς ἀτακτοῦν τὸν παιδαγωγὸν ἔπαισεν ἐπειπών· τί γὰρ τοιαῦτα παιδεύεις;

19. γενεὰ ἡ φύσις. ὁ Ὅμηρος· ἠύτε φύλλων γενεή. καὶ γενεὰ ἡ εὐγένεια. τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς. καὶ γενεὰ ἡ ἡλικία· οὕνεκ' ἐγὼ γενεῆφι νεώτατος ἔσκον. καὶ γενεὰ οἱ ἀπόγονοι· κρείσσων δ' αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται. καὶ γενεὰ ἐπὶ διαστημάτων χρόνων· τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο.

20. γυναικωνῖτις ἡ συνάθροισις τῶν γυναικῶν. ὁ μέγας Βασίλειος· ἄλλως τε καὶ εἰ τύχοι ἔξω τῆς γυναικωνίτιδος ἑστὼς ὁ τὴν ὥραν ἀποτιθέμενος. γυναικὼν δὲ ὁ τόπος ὁ περιεκτικὸς γυναικῶν, ὡς παρθενών. Χρυσόστομος· καὶ γυναῖκες γυναικῶνας καὶ ἄνδρες τὴν ἀγορὰν κενώσαντες.

21. γραμματιστής, ὡς παρὰ τῷ μεταφραστῇ καὶ ἄλλοις πλείστοις, ὁ τοῦ ἁπλοϊκοῦ λόγου διδάσκαλος. λέγεται δὲ καὶ ὁ

γότεροι ed. pr., γοργότεροί θ' cod., γοργότερόν τε Xen. libri. φοβερώτεροι] φοβερώτερον Xen.

1. 2. verba καὶ Δίων — λέοντες in margine codicis addita sunt literis minoribus. 1. Δίων] Dio Chrys. IV, 14 (vol. 1 p. 66, 9 ed. L. Dind.). ἀνέβλεψεν εἰς] ἀνέβλεψε πρὸς Dio Chrys. 3. Ἀφθόνιος] Aphthonius Progymn. c. 3 in Rhet. Gr. vol. 1 p. 63, 6. 6. ὁ Ὅμηρος] Il. Z, 169: οἵη περ φύλλων γενεή. 7. τέκνον — Ἀχιλλεύς] Hom. Il. Λ, 786. ὑπέρτερος ἔστιν cod. 8. οὕνεκ' — ἔσκον] Hom. Il. Ξ, 112: οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν. cf. H, 153: γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων. γενεῆφιν ed. pr., γενεῆφιν cod. 9. ἡ ἀπόγονοι cod., οἱ ἀπόγονοι ed. pr. κρείσσων — τέτυκται] Hom. Il. Φ, 191. 10. γενεὴ ἐπὶ ed. pr., γενεὰ ἐπὶ cod. 10. 11. τῷ δ' ἤδη — ἐφθίατο] Hom. Il. A, 250 sq. 12. γυναικωνίτις cod., γυναικωνῖτις ed. pr. 13. τύχειεν ed. pr., τύχοι cod., ubi o ex ει factum est.

γραμματεύς. Ἡρόδοτος· τῶν βιβλίων ἕκαστον περιελόμενος ἐδίδου τῷ γραμματιστῇ τῷ βασιληΐῳ ἐπιλέγεσθαι.

22. γράφω τὸ ἐπιστέλλω ἐπὶ προσώπου χωρὶς προθέσεως δοτικῇ, μετὰ δὲ προθέσεως τῆς πρός ἀεὶ αἰτιατικῇ, ἐπὶ δὲ τόπου μετὰ τῆς πρός ἢ μετὰ τῆς εἰς, καὶ τότε ἀεὶ αἰτιατικῇ· γράφω εἰς τόνδε ἢ πρὸς τόνδε τὸν τόπον. μετὰ δὲ τῆς ἐπί ἀεὶ γενικῇ. Συνέσιος· τοιγαροῦν ὁμοῦ μὲν ἐπὶ Θρᾴκης γράφω.

23. γνώμης ἁμαρτάνει ἀντὶ τοῦ ἐκπίπτει γνώσεως, οὐ νοεῖ. Θουκυδίδης· τὸν δὲ πόλεμον, δι' ὅνπερ χρήσιμοι ἂν εἴημεν, εἴ τις ὑμῶν μὴ οἴηται ἔσεσθαι, γνώμης ἁμαρτάνει.

Δ.

1. διαφέρει ἀντὶ τοῦ διαλλάσσει ἐπὶ μὴ σφόδρα κατὰ πολὺ διισταμένων πραγμάτων λεγόμενον. καὶ διαφέρει ἀντὶ τοῦ καρτερεῖ καὶ ὑπομένει. Θουκυδίδης· περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς καὶ ὄντες ἀθρόοι ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον. καὶ διαφέρει ἀντὶ τοῦ συντελεῖ. Συνέσιος· ἐμοὶ δὲ καὶ ἰδίᾳ διαφέρει τὸ παρ' αὐτά σε πράττειν εὖ τὰ βασίλεια. καὶ διαφέρει ἀντὶ τοῦ κεκλήρωται. Θεολόγος· ὥσπερ ἂν εἰ καὶ τῶν τεχνῶν ἀπεῖρξεν ἡμᾶς, ὅσαι παρ' Ἕλλησιν εὕρηνται, καὶ τοῦτο διαφέρειν αὐτῷ διὰ τὴν ὁμωνυμίαν ἐνόμισε. καὶ διαφέρει ἀντὶ τοῦ οἰκονομεῖ. ὁ αὐτός· μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφέρειν καὶ τὴν τῶν

1. Ἡρόδοτος] Herodotus III, 128, 2. ἕκαστον περιελόμενος] ἓν ἕκαστον περιαιρεόμενος Herodot. 5. ἀεὶ τῇ ed. pr., ἀεὶ cod. 6. Συνέσιος] Synes. Epist. 71 p. 218 B. 7. ἐπὶ Θρᾴκης γράφω] ἐπὶ Θρᾴκης, ὁμοῦ δὲ εἰς Ἰσαύρους γράφω Synes. 9. Θουκυδίδης] Thuc. I, 33, 3. 10. οἴηται] οἴεται Thuc. 13. Θουκυδίδης] Thuc. I, 11, 2. 15. Συνέσιος] Synes. Epist. 48 p. 187 C. ἐμοίδε cod., ἐμοὶ δὲ ed. pr., ἐμοὶ δέ τι Synes. 17. Θεολόγος] Greg. Naz. Orat. III p. 51 B. 18. ἀπεῖρξεν] εἶρξαν Greg. Naz. 20. ὁ αὐτός] Greg. Naz. Orat. XX p. 364 A.

αἱρετικῶν δυναστείαν. καὶ διαφέρει ἀντὶ τοῦ διέρχεται. Ἡρόδοτος· καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων. καὶ διαφέρει ἀντὶ τοῦ συντελεῖ. Ἡρωδιανός· ἐπεὶ μηδὲ αὐτοῖς διέφερε ταῦτα εἰδέναι. διαφέρεται δὲ παθητικῶς ἀντὶ τοῦ μάχεται, καὶ ἀντὶ τοῦ διά τινος φέρεται. Δημοσθένης· διεφέρετο κατατετρωμένος.

2. δέον ἀντὶ τοῦ πρέποντος ὄντος. Χρυσόστομος· ἀλλὰ δέον φυλάξαι τὴν ἐντολήν, τοῦτο μὲν οὐκ ἐποίησεν. οὕτω λέγεται καὶ ἐνὸν ἀντὶ τοῦ δυνατοῦ ὄντος, καὶ ἐξὸν ἀντὶ τοῦ ἀδείας οὔσης, καὶ ἐπὶ τῶν ἄλλων τῶν μετοχικῶν οὐδετέρων.

3. δευτεροῦν ἀντὶ τοῦ δὶς λέγειν ἢ ποιεῖν. Χρυσόστομος· ταῦτα οὐχ ἁπλῶς οὐδὲ μάτην νῦν ἀναγκάζομαι ἐπαναλαμβάνειν καὶ δευτεροῦν.

4. δημόκοινος ὁ δημόσιος βασανιστής. παρ' Ἰσοκράτει.

5. δικελλίτης ὁ δικέλλῃ ἐργαζόμενος. Λουκιανός· διὰ ταῦτα δικελλίτης καὶ διφθερίτης, ὡς ὁρᾷς.

6. διεξελθόντες διὰ πάντων ἀντὶ τοῦ τελέσαντες πάντα. Ἡρόδοτος· κατὰ ἕνα ἕκαστον τῶν παίδων ἔσφαζον ἐς τὸν κρητῆρα· διὰ πάντων δὲ διεξελθόντες τῶν παίδων.

7. δημοποίητος ὁ ξένος μὲν ὢν τῇ φύσει, ὑπὸ δὲ τοῦ δήμου πολίτης γενόμενος.

---

1. Ἡρόδοτος] Herodotus III, 40, 2. 2. ἐναλὰξ πρήσων cod., ἐναλλὰξ πρήσσων ed. pr. 3. Ἡρωδιανός] Herodianus II, 1, 2. μὴ δὲ αὐτῆς cod., μηδὲ αὐτοῖς Herod. 13. ex Harpocr. p. 55, 24. παρ' Ἰσοκράτη cod. Ἰσοκράτης ἐν τῷ Τραπεζιτικῷ σχεδὸν ἐξηγήσατο τοὔνομα Harp. respicitur Isocr. 17, 15. 14. δικελίτης ὁ δικέλη cod., δικελλίτης ὁ δικέλλῃ ed. pr. Λουκιανός] Lucianus Tim. c. 8 vol. 1 p. 115. διάταῦτα cod., διὰ ταῦτα ed. pr. 15. δικελίτης cod., δικελλίτης ed. pr. διφθερίτης] διφθερίας Lucian. 17. Ἡρόδοτος] Herodotus III, 11, 2. 3. τὸν παίδων ed. pr., τῶν παίδων cod. 19. 20. ex Harpocr. p. 55, 26. ubi haec accedunt: ὃν δὲ τρόπον γίνονταί τινες δημοποίητοι, δεδήλωκε Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος. 19. ξενὸς ed. pr., ξένος cod. 20. γενόμενος] γεγενημένος vel γεγονώς Harp.

8. διαιτηταὶ ἕτεροι παρὰ τοὺς δικαστάς εἰσιν. οἱ γὰρ δικασταὶ ἐν δικαστηρίοις ἐδίκαζον ἀποδεδειγμένοις καὶ τὰς ἀπὸ τῶν διαιτητῶν ἐφεσίμους ἔκρινον, οἱ δὲ διαιτηταὶ πρότερον κλήρῳ λαχόντες ἢ ἐπιτρεψάντων αὐτοῖς τῶν κρινομένων διῄτουν. καὶ εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη· εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις καὶ τὰς μαρτυρίας, ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰσαγωγεῦσι τῶν δικῶν.

9. δανειστὴς ὁ ἕνεκεν τόκου παρέχων χρήματα, χρήστης ὁ χωρὶς τόκου, καταχρηστικῶς δὲ καὶ ὁ ἕνεκεν τόκου. Λιβάνιος· εἰ δ' ἄμεινον διοικεῖν ἐπίσταται, ζητείτω καὶ χρήστας τόκων πλείονας.

10. δεύτερος οὐ μόνον πρώτου προηγησαμένου λέγεται τάξεως ἕνεκεν, ἀλλὰ καὶ ἑνὸς προηγησαμένου λέγεται ἀριθμοῦ ἕνεκεν. Χρυσόστομος· καὶ οὐκέτι ἑνὸς καὶ δευτέρου.

11. δουλοῦμαί σοι ἀντὶ τοῦ δοῦλος σὸς γίνομαι, καταδουλοῦμαι δέ σε ἀντὶ τοῦ δοῦλον ποιῶ.

12. δήπουθεν ἀντὶ τοῦ ὄντως. Ἑρμογένης· πολὺ δὲ δήπουθεν διενήνοχε τεχνολογῆσαι διδασκαλικὴν θεωρίαν.

13. διιστῶ τόδε τοῦδε καὶ τόδε πρὸς τόδε ἀττικῶς. Μάξιμος· καὶ διαστήσαντες αὐτῶν τὰς φύσεις καθάπερ ἡμέρας πρὸς νύκτα καὶ φωτὸς πρὸς ζόφον.

1—8. ex Harpocr. p. 60, 6. cf. Suid. v. διαιτηταῖς. 1. διαιτηταὶ ἕτεροι — εἰσιν] διαιτηταί· Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, εἰσὶ δὲ διαιτηταὶ ἕτεροι τῶν δικαστῶν Harpocr. δικαστὰς εἰσίν cod. οἱ γὰρ δικασταὶ] οὗτοι μὲν γὰρ Harp. 4. τῶν κρινομένων] τῶν κρινομένων τοῖς κρινομένοις Harp., τοῖς κρινομένοις Suid. 7. πίστεις] πίστεις ἑκατέρων Harp. σημηνάμενοι cod., σημηνάμενοι ed. pr. 8. λέγει δὲ περὶ αὐτῶν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ addit Harpocr. 10. Λιβάνιος] Liban. Decl. vol. 4 p. 669, 1. 11. χρήστας τόκων] τόκου χρήστας Liban. 15. δουλοῦμαι cod., δουλοῦμαί ed. pr. 17. δήπουθεν ἀντὶ cod., δήπουθεν ἀντὶ ed. pr. Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 100, 12. πολύδε cod., πολὺ δὲ ed. pr. 19. Μάξιμος] Maximus Tyr. V, 1 vol. 1 p. 64.

14. δείλη ἐπὶ ὀψίας χωρὶς προσθήκης τῆς ὥρας λέγεται· ἐπὶ δὲ πρωίας καὶ ἐπὶ ἄλλης ὥρας μετὰ προσθήκης. Συνέσιος· λύσαντες ἐκ Βενδειδίου πρὸ δείλης ἑῴας.

15. διώκω τὸ κατηγορῶ, φεύγω τὸ κατηγοροῦμαι. καὶ διώκω τὸ ποθῶ, φεύγω τὸ μισῶ. Θεολόγος· φεύγεις διώκοντας ἡμᾶς. καὶ διώκω τὸ ἀποσοβῶ, καὶ φεύγω τὸ εἰς ἐξορίαν ἀπέρχομαι.

16. δυσειδὴς ἐπὶ προσώπου, δυσειδία δὲ ἐπὶ εἴδους τοῦ ἐν τῷ προσώπῳ. Λιβάνιος· τούτου μὲν τοῦ καλοῦ παρόντος καὶ πενία γυναικὸς καὶ δυσειδία κοῦφον.

17. διδασκάλιον τὸ μάθημα. ὁ μέγας Βασίλειος· κατάδεξαι μεθ' ἡμῶν τὸ διδασκάλιον τῆς ἀληθείας.

18. δωροξενίας γραφή, ὅταν τις γραφεὶς ξενίας καὶ δῶρα δοὺς ἐκφύγῃ τὴν συκοφαντίαν.

19. διώρισαν ἀντὶ τοῦ ὁρισμῷ ἐβεβαίωσαν. καὶ διώρισαν ἀντὶ τοῦ μετέστησαν. Εὐριπίδης· καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν. καὶ διώρισαν ἀντὶ τοῦ ἁπλῶς ἀνήγγειλαν. Σοφοκλῆς· τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν.

20. δοκῶ ἀντὶ τοῦ δόκησιν παρέχω. Λιβάνιος· νῦν δ' ἐκείνοις μὲν οὕτως ἔδοξας εἶναι πιθανός. καὶ δοκῶ ἀντὶ τοῦ ὑπολαμβάνω.

---

2. Συνέσιος] Synes. Epist. 4 p. 161 C. 3. utrum Βενδοιδίου (sic ed. pr.) an Βενδειδίου codicis scriba voluerit, incertum est. Βενδιδείου Synes. 5. Θεολόγος] Greg. Naz. Epist. 154 p. 871 A: φεύγεις διώκοντας ἴσως νόμους ἐρωτικούς. τοὺς διώκοντας ed. pr., διώκοντας codex et Greg. Naz. 8. Λιβάνιος] Liban. Decl. vol. 4 p. 571, 11. 10. ὁ μέγας Βασίλειος] «Basil. M. Hom. 3 in Hexaem. p. 28 C» Thes. Gr. L. vol. 2 p. 1412 D. 12. 13. Suidas: δωροξενία. ὅταν τις γραφεὶς ξενίας καὶ δῶρα δοὺς ἐκφύγῃ τὴν συκοφαντίαν, δωροξενία λέγεται. similiter Zon. Lex. p. 588, melius Lex. rhet. Cantabr. p. 674, 7. cf. Dindorfius in Harpocr. vol. 1 p. 101 et Val. Rose Aristot. pseudepigr. p. 429 sq. 12. ὅτάν τις cod., ὅταν τις ed. pr. γραφῇ ed. pr., γραφεὶς cod. 15. Εὐριπίδης] Eur. Hec. 847. 16. Σοφοκλῆς] Soph. Oed. R. 723. 18. Λιβάνιος nomen primitus in codice omissum postea scriba versibus interposuit. 19. πυθανός cod., πιθανός ed. pr.

21. δωροῦμαι ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν καὶ ἀντιστρόφως κατὰ Ἀττικούς. Λουκιανός· ὥστε τὸν μὲν Ἀπελλῆν ἑκατὸν ταλάντοις ἐδωρήσατο.

22. διαπράττομαι τὸ φονεύω. καὶ διαπράττομαι τὸ ἐνεργῶ. Ἀριστοφάνης· κἂν δέῃ με ἀποθανεῖν, αὐτὸς ταῦτα διαπράξομαι.

23. διωμοσίας δίκη, ὅταν οἱ κατηγοροῦντες ὡς ἀληθῶς κατηγοροῦντες ὀμνύωσι.

24. διαιτῶμαι τὸ ἰατρικῶς τρέφομαι. καὶ διαιτῶμαι τὸ ἁπλῶς τρέφομαι. καὶ διαιτῶμαι τὸ ἀναστρέφομαι. Συνέσιος· πῶς οὖν ἔστι Νίκαιον νικᾶν ὑπερόριον ἐν ἀγρῷ διαιτώμενον. καὶ διαιτῶ τὸ κρίνω. Μάξιμος· πῶς ἄν τις διαιτήσῃ τὴν διαφοράν.

25. δελεάσει ἀντὶ τοῦ ἐξαπατήσει. καὶ δελεάσει ἀντὶ τοῦ δέλεαρ θήσει. Ἡρόδοτος· ἐπεὰν νῶτον ὑὸς δελεάσει περὶ τὸ ἄγκιστρον.

26. διαφθείρεται ἡ δεῖνα μετὰ τοῦ δεῖνος. Χρυσόστομος· μήτε διαφθείρονται μετ' αὐτῶν. τὸ γὰρ κοινὸν διαφθείρεται ἡ δεῖνα τῷ δεῖνι λέγεται.

27. δεινῶς φέρειν ἀντὶ τοῦ δεινοπαθεῖν καὶ οὐχ ὑπομένειν. Ἡρόδοτος· ἀνακρεμαμένου δὲ τοῦ νέκυος τὴν μητέρα δεινῶς φέρειν.

---

2. Λουκιανός] Lucianus Calumniae non temere cred. c. 4 vol. 3 p. 130. 5. Ἀριστοφάνης] Ar. Plut. 216 sq. δέῃ με ἀποθανεῖν] δεῖ μ' ἀποθανεῖν Aristophanis libri, δῇ μ' ἀποθανεῖν Dindorfius. αὐτὸς ταῦτα διαπράξομαι] αὐτὸς διαπράξω ταῦτα Aristoph. 6. 7. cf. Suidas: διωμοσία καὶ ἀντωμοσία. ὅταν οἱ κατηγοροῦντες ὀμνύωσιν ὡς ἀληθῶς κατηγοροῦσι, τοῦτο διωμοσία· ὅταν δὲ οἱ κατηγορούμενοι ὀμνύωσι τὸν αὐτὸν ὅρκον, διαλυόμενοι τὰ ἐγκλήματα, τοῦτο ἀντωμοσία. 7. ὀμνύουσι ed. pr., ὀμνύωσι cod. 9. Συνέσιος] Synes. Epist. 79 (b) p. 228 B. 9. 10. οὖν ἐστὶ ed. pr., οὖν ἔστι cod. 10. δίκαιον ed. pr., Νίκαιον cod. et Synesius. 11. Μάξιμος] Maximus Tyr. X, 1 vol. 1 p. 167. διαιτήσῃ] διαιτῆσαι in Maximo ed. Reisk., διαιτήσειε leg.

13. Ἡρόδοτος] Herodotus II, 70, 1. δελεάσει περὶ τὸ] δελεάσῃ περὶ Herod. ἄγκριστρον cod., ἄγκιστρον ed. pr. 19. Ἡρόδοτος] Herodotus II, 121, 12.

28. δι' ἔτους ἀντὶ τοῦ δι' ὅλου τοῦ χρόνου. οὕτω καὶ διὰ χειμῶνος καὶ διὰ θέρους καὶ τὰ ὅμοια.

29. διοίσω ἀντὶ τοῦ διακομίσω καὶ ἐπάξω. Εὐριπίδης· ψῆφον διοίσουσιν, ἔνθα νικῆσαί σε χρή. καὶ διοίσω ἀντὶ τοῦ διαφορὰν ἕξω. Ἀριστοφάνης· οὐδὲν διοίσεις τὴν φύσιν Χαιρεφῶντος.

30. δεῦρο ἀντὶ τοῦ ἐνταῦθα. καὶ δεῦρο ἀντὶ τοῦ ἐκεῖσε. Ἀριστοφάνης· φράσαι δὲ οὔπω τέτληκας ἡμῖν ὅτου χάριν ὁ δεσπότης ὁ σὸς κέκληκέ με δεῦρο. καὶ δεῦρο παρακελευσματικὸν ἀντὶ τοῦ ἐλθέ.

31. διδῷ λέγουσιν οἱ Ἀττικοί. Ἑρμογένης· καὶ ὅταν ὁ νόμος τοῦτο σαφῶς διδῷ.

32. δοκῶ μοι ἀντὶ τοῦ οἶμαι. Ἀριστοφάνης· τὸν οὖν Δία τὸν σωτῆρα δοκῶ μοι χαίρειν ἐάσας.

33. δουλούμενος ἀντὶ τοῦ δοῦλος γενόμενος. καὶ δουλούμενος ἀντὶ τοῦ δοῦλον ποιῶν. Ἱμέριος· ἀρρήτῳ πόθῳ τὸ πλησιάζον δουλούμενος.

34. διαγγελλομένους ἀντὶ τοῦ παρακελευομένους. Ξενοφῶν· ἐγίνωσκον αὐτοὺς ἀπιέναι βουλευομένους καὶ διαγγελλομένους.

35. διαπνέει ἀντὶ τοῦ θνήσκει. καὶ τὰ λοίσθια πνέει. καὶ διαπνεῖ ὁ Ζέφυρος τὸν λειμῶνα.

36. διὰ ῥαθυμίας καὶ ἀμελείας ὁμιλεῖ ἀντὶ τοῦ ῥαθύμως καὶ ἀμελῶς.

37. δυνατά μοι τὰ πράγματα ἀντὶ τοῦ δύναμιν ἔχω εἰς τὰ

---

1. ἀντὶ cod., ἀντὶ τοῦ ed. pr. 3. Εὐριπίδης] Eur. Or. 1652. 4. διοίσουσιν] διοίσουσ' Eur. νικῆσαι cod., νικῆσαί ed. pr. 5. Ἀριστοφάνης] Ar. Nub. 503. τὴν φύσιν Χαιρεφῶντος] Χαιρεφῶντος τὴν φύσιν Aristoph. 6. Ἀριστοφάνης] Ar. Plut. 280 sq., ubi versum 281 ex superiore loco repetitum optimi libri ignorant. 7. χάριν ὁ] χάριν μ' ὁ Ar. 8. κέκληκέ με δεῦρο] κέκληκε δεῦρο Ar. 9. Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 57, 16. ὁ νόμος] νόμος Hermog. 11. Ἀριστοφάνης] Ar. Plut. 1186 sq. διὰ ed. pr., Δία cod. 12. δοκῶ μοι] καὐτός μοι δοκῶ Aristoph. 14. ἀντὶ δοῦλον ed. pr., ἀντὶ τοῦ δοῦλον cod. 16. Ξενοφῶν] Xen. Anab. III, 4, 36: ἐγίγνωσκον αὐτοὺς οἱ Ἕλληνες βουλομένους ἀπιέναι καὶ διαγγελλομένους.

πράγματα. καὶ ἀδύνατά μοι τὰ πράγματα ἀντὶ τοῦ οὐκ ἔχω δύναμιν εἰς τὰ πράγματα. κατὰ τοῦτον τὸν τρόπον φέρονται πληθυντικαὶ πτώσεις τῇ συντάξει τῶν ῥημάτων, ἀττικῶς ἀπωθουμένης αἰτιατικῆς πτώσεως ἐπιρρηματικῶς φερομένης. Θουκυδίδης· οἱ δὲ Πλαταιῶν πρέσβεις ἀκούσαντες ταῦτα ἐπῆλθον ἐς τὴν πόλιν καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες ἀπεκρίναντο ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ προκαλεῖται ἄνευ Ἀθηναίων. ἀντὶ τοῦ οὐ δυνατὰ σφίσι, τουτέστι δύναμιν σφῶν οὐκ ἐχόντων εἰς ἐκεῖνα.

38. διάλυσις ἀμφιβαλλομένου πράγματός ἐστι τομή, ὡς ὅταν δικαζόμενοί τινες καὶ μέλλοντες εἰς ὅρκους χωρεῖν διαλύσωνται πρὸς ἀλλήλους καὶ καταπαύσωνται τὴν φιλονεικίαν.

39. δίφρος κυρίως τὸ ἅρμα, καταχρηστικῶς ἡ καθέδρα. Ὅμηρος· ἀεικέλιον δίφρον καταθείς.

40. δικάσαι ἀντὶ τοῦ κρῖναι, δεκάσαι ἀντὶ τοῦ παρακρῖναι. Συνέσιος· ἡ γὰρ εὔνοια δεινὴ δεκάσαι τὰς ψήφους. λέγεται καὶ δεδεκασμένη κρίσις καὶ δεδεκασμένη μαρτυρία. Συνέσιος· παρ' ᾧ μηδεὶς εὕρατο μαρτυρίαν χάριτι δεδεκασμένην.

41. διημερεύω ἀντὶ τοῦ ἅπασαν τὴν ἡμέραν ἔν τινι τόπῳ ἢ ἔργῳ ἐπιμένω. τοιοῦτόν ἐστι καὶ τὸ διανυκτερεύω.

42. δεῆσαν ἀντὶ τοῦ χρείας ἐπελθούσης. Συνέσιος· ἐδεξάμην εἰς τὸν ἀπόπλουν δεῆσαν παρ' αὐτοῦ χρυσίνους ἑκατόν.

43. δικάζομαι ἀντὶ τοῦ ἐγκλητεύω καὶ κατηγορῶ. Ἀριστο-

---

4. Θουκυδίδης] Thuc. II, 72, 2. 5. ἐπῆλθον] ἐσῆλθον Thuc. 6. ἀπεκρίναντο] ἀπεκρίναντο αὐτῷ Thuc. ἀδύνατά σφισιν ed. pr. 9. πράγματος ἔστι cod. 12. ἄρμα cod., ἅρμα ed. pr. 13. Ὅμηρος] Hom. Od. υ, 259. ἀεικέλλιον δίφρον cod., ἀεικέλιον δίφρον ed. pr., δίφρον ἀεικέλιον Hom. 15. Συνέσιος] Synes. Epist. 1 p. 160 A. ἡ γὰρ εὔνοια δεινὴ] αἱ γὰρ εὔνοιαι δειναὶ Synes. 16. Συνέσιος] Synes. Epist. 62 p. 205 D. 17. εὕρατο] εὕρετο Synes. 19. τοιοῦτον ἔστι cod. 20. Συνέσιος] Synes. Epist. 129 p. 264 A. 21. ἑκατόν] ἑξήκοντα Synes. 22. Ἀριστοφάνης] Ar. Nub. 496.

φάνης· εἶτ' αὖϑις ἀκαρῆ διαλιπὼν δικάζομαι. καὶ Λιβάνιος· ἐκεῖνός σε τῶν ἡμετέρων ἐκβέβληται, ἐκεῖνο δικάζων.

44. διαϑρύπτεται παϑητικῶς ἀντὶ τοῦ ἑταιρικῶς σχηματίζεται. διαϑρύπτει δὲ ἐνεργητικῶς ἀντὶ τοῦ ἄρτον διαμερίζει. ϑεολόγος· καὶ διαϑρύπτει πεινῶσι τὸν πνευματικὸν ἄρτον.

45. διάϑεσις λέγεται ἐπὶ ποιότητος λογισμοῦ.

46. διῆλϑεν ἀντὶ τοῦ ἐνήργησε. καὶ ταῦτα μέντοι τὰ τοσαῦτα καὶ τοιαῦτα διῆλϑε σὺν πολλοῖς δ' ὅμως ἐναντιώμασι τῶν Ἑλλήνων.

47. δεδίττομαι τὸ ἐκφοβῶ. καὶ δέδοικα καὶ δέδια τὸ φοβοῦμαι. καὶ δέδοικα περὶ σοῦ καὶ περὶ σοί. ὁμοίως καὶ δειλιῶ καὶ δειμαίνω.

48. διεκορήσατό τις παρϑένον.

49. δικαιῶ τὸ ἀϑῳῶ. καὶ δικαιῶ τὸ καταδικάζω.

50. δεῦρο κεῖται καὶ ἐπὶ τόπου καὶ ἐπὶ χρόνου. καὶ γνώμης ἕνεκα καὶ τῆς εἰς τὸ δεῦρο τύχης.

51. διάϑεσις λέγεται ἐπὶ ποιότητος λογισμοῦ καὶ ἐπὶ ἁπλῶς ϑέσεως ἀψύχων τινῶν πραγμάτων. ϑεολόγος· καὶ ψηφῖδος λεπτῇ διαϑέσει καὶ ποικιλίᾳ γραφῆς.

52. διαγράφων ἀντὶ τοῦ σημειούμενος. καὶ ἀντὶ τοῦ παραλογιζόμενος. Ἀριστείδης· οὐκ ἂν φϑάνοι διαγράφων πάσας ἀρχάς τε καὶ δυνάμεις ἁπλῶς.

---

1. Λιβάνιος] Liban. Decl. vol. 4 p. 668, 16. 2. ἐκεῖνος σε cod., ἐκεῖνός σε ed. pr. ἐκβέβληται, ἐκεῖνο δικάζων] ἐκβέβληκεν, ἐκείνῳ δικάζου Liban. 4. διαϑρύπτει σὲ ed. pr., διαϑρύπτει δὲ cod. ϑεολόγος] Greg. Naz. Orat. XVI p. 239 C. 5. διαϑρύπτει] διαϑρύψαι Greg. Naz. 6. vide Δ, 51. 7. 8. καὶ ταῦτα μέντοι — τῶν Ἑλλήνων] Aristid. vol. 1 p. 250. 8. δ' om. Aristid. 10. περί σου cod. περί σοι ed. pr., περὶ σοὶ cod. 12. διεκορήσατο τις ed. pr., διεκορήσατό τις cod. 14. 15. καὶ γνώμης — δεῦρο τύχης] Bruti Epist. 48 p. 18 ed. Westerm. 17. ϑεολόγος] Greg. Naz. Orat. XVI p. 248 D. ψηφίδος cod., ψηφῖδος ed. pr. λεπτῇ] λεπτῆς Greg. Naz. 20. Ἀριστείδης] Aristides vol. 1 p. 288. φϑάνῃ ed. pr., codex incertum utrum φϑάνῃ an φϑάνοι habeat.

53. διαβάλλω ἀντὶ τοῦ ψευδῶς κατηγορῶ. καὶ διαβάλλω ἀντὶ τοῦ ἀναγγέλλω. Ἀριστείδης· τοῦτο δὲ ἐγὼ μὲν οὐδέποτ' ἂν φήσαιμι, ἄλλος δ' ἄν τις εἴποι διαβάλλων οὐ πόρρω κακοηθείας εἶναι. ἀντὶ τοῦ ψέγων ἀληθῶς.

54. διατετριφὼς ἀντὶ τοῦ διατρίψας. Κύπριος· ὥσπερ οὐκ ἐν Σπάρτῃ, ἀλλ' εἰς δικαστήρια διατετριφὼς ἀττικά.

55. διεῖχον ἀντὶ τοῦ διέστησαν. Θουκυδίδης· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων καὶ ἔστιν ὅτε οὐδὲ ἑωρῶντο.

56. δήμιος ὁ ὑπηρέτης τοῦ δήμου· δημότης δὲ ὁ μετέχων τοῦ δήμου.

57. διὰ φυλακῆς ἔχοντες ἀντὶ τοῦ φυλάσσοντες. Θουκυδίδης· καὶ οἱ μὲν Ἕλληνες τεταγμένοι τε προσῄεσαν καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύοντο ἐν ἐπιτηδείῳ.

58. δάπις γράφεται καὶ διὰ τοῦ ι καὶ κλίνεται διὰ τοῦ δος. Ἀριστοφάνης· οὐδ' ἐν δάπισιν ἔσται καταδαρθεῖν. καὶ Συνέσιος· δάπιδα μεγάλην τῶν Αἰγυπτίων. γράφεται καὶ τάπης διὰ τοῦ η, καὶ ἀμφιτάπης ἡ ἀμφοτέρωθεν ἔχουσα μαλλόν.

59. διὰ βραχέος ἀντὶ τοῦ συντόμως. Θουκυδίδης· καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιμεν διὰ βραχέος παραγινόμενοι.

---

2. Ἀριστείδης] Aristides vol. 2 p. 158. 7. Θουκυδίδης] Thuc. II, 81, 3. 8. ἑορῶντο cod., ἑωρῶντο Thuc. 9. δημώτης cod. 11. Θουκυδίδης] Thuc. II, 81, 4. 13. ἐστρατοπεδεύοντο] ἐστρατοπεδεύσαντο Thuc. 14. καὶ διὰ] διὰ malim. 15. Ἀριστοφάνης] Ar. Plut. 527 sq.: ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν, οὐ γὰρ ἔσονται, οὔτ' ἐν δάπισιν. οὐδὲν δάπισιν ed. pr., οὐδ' ἐν δάπισιν cod. Συνέσιος] Synes. Epist. 61 p. 204 B. 16. καὶ δάπης ed. pr., καὶ τάπης cod. 17. ἀμφοτέρωθιν ed. pr., ἀμφοτέρωθεν cod. μαλόν cod., μαλλόν ed. pr. 18. διαβραχέος cod., διὰ βραχέος ed. pr. Θουκυδίδης] Thuc. II, 83, 5. 19. ἐκπλέοιμεν] ἐκπλέοιεν Thuc. διαβραχέος cod., διὰ βραχέος ed. pr. παραγινόμενοι] παραγιγνόμενοι Thuc. ceterum in Suidae lexico haec leguntur: διαβούλομαι· ἀναπείσω. Θουκυδίδης. διὰ βραχέος· ἐν συντόμῳ. ubi Θουκυδίδης nomen post verba ἐν συντόμῳ collocandum fuisse editores fugit.

60. δεῦρ᾽ ἀεὶ ἀντὶ τοῦ ἕως τούτου.

61. διαπρεπὴς ἐν ἀρετῇ, καὶ διαπρεπὴς ἐν κακίᾳ.

62. διαπαρθενεύεται τὴν παρθενίαν ἀπόλλυσιν. Ἡρόδοτος· ἡ δὲ ἂν τῷ βασιλεῖ γένηται ἀρεστή, ὑπὸ τούτου διαπαρθενεύεται.

63. διάβροχος ὁ μεθύων. Λιβάνιος· ὡς δ᾽ ἐμέθυεν ὁ πορνοβοσκὸς καὶ διάβροχος ἦν.

64. δεινὸς ὁ ἐπιτήδειος. Ἰώσηπος· Ἀμμοραίους μὲν τοιοῦτον πάθος κατέλαβεν οὔτε φρονῆσαι δεινοὺς οὔτε κατὰ τὰ ἔργα ἀγαθοὺς γεγονότας.

65. διεχρήσατο ἀντὶ τοῦ ἐφόνευσε. καὶ ἀντὶ τοῦ ἁπλῶς ἐχρήσατο. ὅτι ἐξεδήμησέ τε εἰς τὴν Ἑλλάδα καὶ ξενικοῖσιν ἔθεσι διεχρήσατο.

66. διασφὰξ ὁ διεστὼς τόπος τοῦ ὄρους. Ἡρόδοτος· διὰ τῆς διασφάγος ῥεῖ.

67. διαιτηταὶ λέγονται οἱ παρὰ τοῖς Ἀθηναίοις κρίσεις ὑπεράνω τῶν πεντήκοντα νομισμάτων κρίνοντες.

---

2. ἐγκακία cod., ἐν κακίᾳ ed. pr. 3. Ἡρόδοτος] Herodotus IV, 168, 3. 4. ἡ δὲ cod., ἣ δὲ Herod. βασιλεῖ] βασιλέι Herod. γένηται ἀρεστή] ἀρεστὴ γένηται Herod. 5. 6. cf. Suidas: διάβροχος· οἰνωμένος. ὡς δὲ ἐμέθυεν ὁ πορνοβοσκὸς καὶ διάβροχος ἦν πάνυ, τί μέλλομεν, ἔφη. 7. Ἰώσηπος] Iosephus Ant. IV, 5, 2 vol. 1 p. 199, 3. Ἀμ..ραίους ed. pr., Ἀμμοραίους cod., Ἀμορραίους Iosephus. τοιοῦτον] τοιοῦτο Ios. 8. 9. κατὰ τὰ ἔργα ἀγαθοὺς] ἀγαθοὺς κατὰ τὸ ἔργον Ios. 11. ξενικοῖσιν] ξενικοῖς expectes, sed cuius scriptoris verba afferantur ignoro. 13. 14. cf. Zon. Lex. p. 514. 13. διασφαξ sine accentu cod., διασφὰξ ed. pr. Ἡρόδοτος] Herodotus VII, 199, 2: διὰ δὲ τῆς διασφάγος Ἀσωπὸς ποταμὸς ῥέει. 15. 16. cf. Zon. Lex. p. 506: διαιτηταί· οἱ ὑπεράνω τῶν πεντήκοντα νομισμάτων δίκας κρίνοντες, ὡς εἶναι τοὺς διαιτητὰς μεγίστους κριτάς. Pollux 8, 100: οἱ δὲ τετταράκοντα — τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα διαιτηταῖς παρεδίδοσαν. adde Anecd. Bekk. p. 306, 15. Phot. Lex. p. 581, 20. Lex. rhetor. Cantabr. post Phot. ed. p. 673, 6. Meier *Die Privatschiedsrichter und die öffentlichen Diäteten Athens*

68. διαγραφὴ ἡ διατύπωσις τῶν πιπρασκομένων μετάλλων, καὶ τὸ καϑυποβάλλεσϑαι ζημίαις πολλαῖς τὴν πόλιν. διαγραφὴ καὶ ὅταν ἀπαλλαγῇ τοῦ ἐγκλήματος ὁ φεύγων ἢ κατὰ συγχώρησιν τοῦ διώκοντος ἢ κατὰ διάγνωσιν καὶ μηκέτι ὑπὲρ οὐδενὸς ἐγκαλῆται.

69. διαγέγραπται ἀντὶ τοῦ ἀνῄρηται ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἐγράφοντο. Ἀριστοφάνης· ὡς ἥδομαι ὅτι πεντατάλαντός μοι δίκη διαγέγραπται.

70. διαφάσκουσα ἡ ἀνατέλλουσα ἡμέρα. Ἡρόδοτος· ἐν ἡμέρῃ δὲ διαφασκούσῃ συμβολὴν ποιέεσϑαι.

71. διαγορεύει ἀντὶ τοῦ δημηγορεῖ καὶ ἀντὶ τοῦ διάφορα λέγει.

72. διαδικασάμενος ὀνειδίσας, διελέγξας. ὃς διαδικασάμενος αὐτῷ περὶ τῆς ἀποστασίας ἀπέκτεινε.

73. δὲ σύνδεσμος καὶ παρὰ τοῖς λογογράφοις ἀντὶ τοῦ δὴ λαμβάνεται πολλάκις. Συνέσιος· ὁ δὲ Καρνᾶς ἔτι μέλλει καὶ οὔϑ' ἑκὼν οὔϑ' ὑπ' ἀνάγκης γίνεται χρήσιμος.

---

p. 19. **15.** παρὰ ταῖς Ἀϑήναις cod., παρὰ τοῖς Ἀϑηναίοις scripsi. ὑπεράνω] primitus ὑπὲρ ἄνω in codice scriptum erat.

1. cf. Harpocr. p. 56, 26. **2—5.** cf. Lex. Cantabr. post Phot. ed. p. 666, 18. **4.** καὶ μηκέτι ὑπὲρ οὐδενὸς] τυχόντος καὶ μηκέτι περὶ μηδενὸς Lex. Cantabr. **6—8.** cf. Zon. Lex. p. 539 sq. et Suid. v. διαγέγραπται. **7.** ἐγράφοντο] ἀνεγράφοντο καὶ αἱ εἰσαγωγαὶ (καὶ εἰσαγωγαὶ Zon.) τῶν δικῶν Suid. et Zon. Ἀριστοφάνης] Ar. Nub. 773 sq. **8.** πεντατάλαντός μοι δίκη διαγέγραπται] πεντετάλαντος διαγέγραπταί μοι δίκη Aristoph. **9.** Ἡρόδοτος] Herodotus IX, 45, 3. ἐν] ἅμα Herod. **10.** διαφασκούσῃ] διαφαυσκούσῃ Herodoti libri. nec dubium est quin διαφασκούσῃ mero debeatur errori; illud potest ambigi utrum διαφαυσκούσῃ an διαφωσκούσῃ praeferendum sit. **11.** δημογορεῖ ut videtur codex, δημηγορεῖ ed. pr. **12. 13.** cf. Suid. v. διαδικασάμενος et Zon. Lex. p. 540. **13.** ἀπέκτεινε] ἀπέκτεινεν αὐτοῦ τοὺς παῖδας Suidas et Zon. **15.** Συνέσιος] Synes. Epist. 6 p. 170 D. οὐδὲ cod., οὔϑ' Synesius. **16.** χρήσιμος] δίκαιος Synes.

74. διακέκοπται ἀντὶ τοῦ ἀποδεδοκίμασται. ἡ μεταφορὰ ἀπὸ τοῦ διακοπτομένου ἀδοκίμου νομίσματος.

75. διάφορος ὁ πολέμιος. Ἡρόδοτος· τότε ἐὰν διάφορος τοῖσι Ζαγκλαίοισι, συμμίξας τοῖσι Σαμίοισι.

76. διαύγεια ἡ λαμπρότης.

77. διὰ βίου ἀντὶ τοῦ κατὰ πάντα τὸν βίον. ὁ μέγας Βασίλειος· δουλείαν αὐθαίρετον ἐδέξατο διὰ βίου.

78. δεσπότης καὶ δεσπόζων ὁ κύριος, δεσπόσυνος ὁ τούτου υἱὸς καὶ τρόφιμος. καὶ δεσπόσυνον τὸ τοῦ δεσπότου κτῆμα. Εὐριπίδης· τὰς δεσποσύνους σκηνὰς προλιποῦσα. ἡ γυνὴ δὲ δεσπότις καὶ δέσποινα λέγεται.

79. δοῦλος τὸ ἀρσενικόν, τὸ θηλυκὸν δούλη. τὸ δουλὶς οὐκ ἐπαινετόν.

80. δειπνῶ ἐγώ, δειπνίζω ἕτερον. Λιβάνιος· ὅταν ἐπιλίπωσι μὲν οἱ δειπνίζοντες.

E.

1. εἰσάπαξ ἀντὶ τοῦ ὁλοτελῶς. Λιβάνιος· πλὴν ἴσως ὑφῆκά τι τῆς ὀργῆς ὁρῶν οὐκ εἰσάπαξ ἀπολωλότα μοι τὸν υἱόν.

2. ἔτι ἀντὶ τοῦ ἀκμήν. ἔτι ἀντὶ τοῦ σὺν τούτοις. καὶ ἔτι ἀντὶ τοῦ εἰς τὸ ἑξῆς. Δημοσθένης· ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν;

---

1. 2. cf. Suidas: διακέκοπται, οἷον ἀδόκιμόν ἐστι. διέκοπτον γὰρ τὸ ἀδόκιμον νόμισμα οἱ παλαιοί. 3. Ἡρόδοτος] Herodotus VI, 23, 2. 10. Εὐριπίδης] Eur. Hec. 99. 12. 13. τὸ δουλὶς οὐκ ἐπαινετόν] cf. Pollux 3, 74: ἡ δὲ δουλὶς Ὑπερίδῃ εἰρημένον φαῦλόν ἐστιν. 14. Λιβάνιος] Liban. Decl. vol. 4 p. 151, 3. ubi ἐπιλείπωσι μὲν legitur. 16. εἰσάπαξ] rectius εἰς ἅπαξ scripserimus. Λιβάνιος] Liban. Decl. vol. 4 p. 623, 1. ἴσως] ἴσως ἂν Libanius. 17. ἀπολωλότά μοι cod., ἀπολωλότα μοι ed. pr. 19. Δημοσθένης] Demosth. 1, 25. 20. sequitur in codice haec adnotatio, quam

3. εἱλούμενοι ἀντὶ τοῦ ἀναστρεφόμενοι. Μάξιμος· τοιοῦτον γάρ τοι ἀμέλει καὶ οἱ περὶ τὰς δίκας εἱλούμενοι δρῶσιν.

4. ἐνάγει ἀντὶ τοῦ εἰσφέρει. Χρυσόστομος· οὐδὲν γὰρ οὕτως ἐνάγει πρὸς τὴν τῆς ἀληθείας ὁδόν. καὶ ἐνάγει ἀντὶ τοῦ ἐγκληπτεύει. καὶ ἀντὶ τοῦ ποιεῖ. Ἡρόδοτος· ὅστις μαίνεσθαι ἐνάγει ἀνθρώπους.

5. ἐκπίπτει γενικῇ καὶ τίθεται ὡς ἐπὶ πλεῖστον ἐπὶ βλάβης, οἷον ἐκπίπτει πλούτου, ἐκπίπτει φωτός. ὑπερεκπίπτει δὲ ἀντὶ τοῦ νικᾷ. Θεολόγος· ὑπερεκπίπτει πᾶσαν ἔννοιαν καὶ χρόνου καὶ φύσεως.

6. ἐπεξέλθωμεν ἀντὶ τοῦ ἐπεξεργαστικῶς διηγησώμεθα. Χρυσόστομος· ἀκολούθως τοῖς σήμερον ἀναγνωσθεῖσιν ἐπεξέλθωμεν. καὶ ἀντὶ τοῦ κολάσωμεν. Ἰουλιανός· ὅτι κλέπτοντας ἑλόντες οὐκ ἐπεξήλθομεν. καὶ ἀντὶ τοῦ πράξωμεν. ὁ αὐτός· οὐ προμηθέστατα δὲ πάσαις ἐπεξῆλθε ταῖς οἰκονομίαις τῆς πόλεως.

7. ἔτεμε λέγεται καὶ ἐπὶ ὁδοῦ ἀντὶ τοῦ ἁπλῶς ἐνήργησε. Χρυσόστομος· πόσας ὁδοὺς ἀπωλείας ὁ διάβολος ἔτεμε τοῖς αὐτὸν θεραπεύειν βουλομένοις.

8. ἐπιχαλαζῶ ῥῆμα. Λουκιανός· ἐπιχαλαζῶ πόρρωθεν αὐτούς.

---

scriba codicis linea inducta delevit: διετὲς παιδίον λέγεται καὶ διετὴς χρόνος. Ἡρόδοτος· ὡς γὰρ διετὴς χρόνος ἐγεγόνει ταῦτα τῷ ποιμένι πρήσσοντι. Herodoti locus extat II, 2, 4. ubi ἐγεγόνεε scribitur.

1. Μάξιμος] Maximus Tyr. XXVIII, 3 vol. 2 p. 58. 2. γάρ τοι] γάρ τι Max. Tyr. οἱ περὶ τὰς δίκας] male οἱ πρὸς τὰς δίκας in Max. Tyr. ed. 5. inter ποιεῖ et ὅστις quod in codice relictum est vacuum spatium explevi addito Herodoti nomine. Ἡρόδοτος] Herodotus IV, 79, 4. 6. ὡσεπιπλεῖστον cod., ὡς ἐπιπλεῖστον ed. pr., ὡς ἐπὶ πλεῖστον scripsi. 8. Θεολόγος] Greg. Naz. Orat. XXXVIII p. 615 D sive Orat. XLII p. 677 D. ὑπερεκπίπτει πᾶσαν] πᾶσαν ὑπερεκπῖπτον Greg. Naz. 12. Ἰουλιανός] Iulianus Misop. p. 370 D. 13. ὁ αὐτός] Iulianus Misop. p. 365 C. 14. πᾶσαι ed. pr., πάσαι cod., πάσαις Iulianus. 18. Λουκιανός] Lucianus Tim. c. 58 vol. 1 p. 175.

9. ἐν πρόθεσις σημαίνει καὶ τὸ ἐνώπιον. Ἀριστοφάνης· πολὺ γὰρ μᾶλλον ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.

10. ἔκβλητον τὸ τῆς θαλάττης ἔκβρασμα. καὶ ἔκβλητον βρέφος.

11. ἔχε μοι χάριν ἀντὶ τοῦ εὐχαρίστει μοι. Λουκιανός· ἀλλ' οὖν ἐχέτω καὶ τούτων τῶν παιδευμάτων τῇ πατρίδι τὴν χάριν. ἔχω σοι δὲ χάριν ἀντὶ τοῦ εὐχαριστῶ σοι.

12. ἐξαιρέσεως δίκη. ὅταν τις ἄγῃ τινὰ ὡς δοῦλον, ἔπειτά τις αὐτὸν ὡς ἐλεύθερον ἐξαιροῖτο, ἐξῆν τῷ ἀντιποιουμένῳ τοῦ ἀνθρώπου ὡς δούλου λαγχάνειν ἐξαιρέσεως δίκην τῷ εἰς τὴν ἐλευθερίαν αὐτὸν ἐξαιρουμένῳ.

13. εἰ δ' οὖν ἐλλειπτικῶς λέγεται, οἷον εἰ δὲ οὔ. τὸ οὖν δὲ λαμβάνεται διὰ καλλιφραδίαν ἀργὸν ἀντὶ τοῦ δή.

14. ἔφαγεν ἐπὶ τραπέζης καὶ ἔφαγεν ἀπὸ τραπέζης. Συνέσιος· καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιὰν οὔτε ἀπὸ τῆς αὐτῆς ποτὲ σιτησόμεθα.

15. ἐξαράσασθαι ἀντὶ τοῦ ἐκτελέσαι τὰς ἀράς, τουτέστι τὰς εὐχὰς ἐπὶ ταῖς ἱδρύσεσι τῶν ναῶν ἃς εἰώθασι ποιεῖσθαι.

---

1. Ἀριστοφάνης] Ar. Nub. 891 sq. 2. μᾶλλον ἐν] μᾶλλόν σ' ἐν Ar. ἀπορῶ ed. pr., ἀπολῶ cum Aristophane codex, ubi primitus sane ἀπορῶ scriptum fuit. 5. utrum Λουκιανός an Ἰουλιανός codicis scriba voluerit, incertum est. 8—11. ex Harpocr. p. 74, 14. a quo testis rei affertur Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει. cf. Suid. v. ἐξαιρέσεως δίκη. 8. ὅτάν τις cod., ὅταν τις ed. pr. ὅταν τις ἄγῃ] ὁπότε τις ἄγοι recte Anecd. Bekk. p. 252, 12 et plerique Harpocr. libri, ὁπόταν τις ἄγοι Zon. Lex. p. 759. 9. ἐξαίροιτο cod., ἐξαιροῖτο Harpocr. et al. 11. αὐτῷ cod., αὐτὸν Harp. et Suid. 12. εἰ δ' οὖν ἐλλειπτικῶς λέγεται] cf. Soph. Ant. 722. Eur. Hipp. 507. 13. καλλιφρασίαν ed. pr., καλλιφραδίαν cod. neutra forma lexicographis innotuit. sed si a codice discedendum sit, malim καλλιφράδειαν: certe εὐφράδεια a scriptoribus dicitur, ἀφραδία εὐφραδία πολυφραδία formae poetarum videntur esse propriae. 15. Συνέσιος] Synesius Epist. 58 p. 203 B. 16. σιτισόμεθα cod., σιτησόμεθα Synes. 17. 18. cf. Harpocr. p. 74, 20 et Suid v. ἐξαράσασθαι.

16. εἰκάσαι ἀντὶ τοῦ στοχάσασθαι. Συνέσιος· ἄνθρωπος οὐκ ἔχων εἰπεῖν ὄνομα πάππου, ἀλλ' οὐδὲ πατρός, φασί, πλὴν ὅσον εἰκάσαι. καὶ εἰκάσαι ἀντὶ τοῦ παρεικάσαι.

17. ἐμψυχοῖ μετὰ προθέσεως καὶ χωρὶς προθέσεως. Συνέσιος· ἥ τε οὖν ὅλη ψυχὴ σφαῖραν ὄντα τὸν ὅλον κόσμον ψυχοῖ.

18. ἐξούλης ὄνομα δίκης ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων.

19. εἶεν ἀντὶ τοῦ εἴησαν οἱ Ἀττικοὶ γράφουσι. Συνέσιος· ἵν' εἶεν οἶκοι ψυχαὶ ἐν κόσμῳ κόσμοι μικροί. καὶ εἶεν κατὰ ῥήτορας ἀποθετικὸν τῶν λεχθέντων καὶ ἐναρκτικὸν τῶν λεχθησομένων.

20. ἐξάντεις οἱ ἀπαλλαγέντες νόσου τινός. Συνέσιος· ἅμα δὲ καὶ ἐξάντεις ἐσομένους τῆς νόσου.

21. ἐξωμοσία τὸ πρᾶξίν τινα μεθ' ὅρκου ἀπαρνήσασθαι διὰ νόσον ἤ τινα ἑτέραν πρόφασιν, ὡς δῆλον ποιεῖ Δημοσθένης ἐν τῇ περὶ τῆς πρεσβείας.

22. ἐνθύμιον γράφεται. Ἀριστείδης· ἐνθύμιον βασιλεῖ καὶ Μαρδονίῳ γίνεται, ὃ δὴ καὶ φρόνιμον ἔξεστιν εἰπεῖν.

23. ἔγκλημα κοινόν, ἐπίκλημα ἀττικόν.

---

1. Συνέσιος] Synesius Epist. 57 p. 197 D. 2. πατρός φασι cod., πατρός, φασί Synes. 4. Συνέσιος] Synesius Calv. enc. c. 8 p. 71 C. 6. 7. ex Harpocr. p. 75, 13. cuius locum repetit Suidas v. ἐξούλης. 8. γράφουσιν ed. pr., γράφουσι cod. Συνέσιος] Synes. Calv. encom. c. 8 p. 71 D. 9. ψυχαὶ] ψυχῶν Synes. 11. Συνέσιος] Synes. Calv. encom. c. 12 p. 75 D. 11. 12. ἅμα καὶ ed. pr., ἅμα δὲ καὶ cod., ἅμα δὲ Synes. 12. ἐσομένη ed. pr., ἐσομένους cod. et Synes. 13—15. ex Harpocr. p. 76, 1. quicum cf. Suid. v. ἔξωμος. 13. πρᾶξιν τινὰ cod., πρᾶξίν τινα ed. pr. μεθ' ὅρκου πρᾶξίν τινα Harpocr. 14. ἢ τινὰ cod., ἤ τινα ed. pr. Δημοσθένης ἐν τῇ περὶ τῆς πρεσβείας] Demosth. 19, 122: ἐγὼ μὲν δὴ παρελθὼν ἐξωμοσάμην εὐθέως. ceterum ἐν τῷ περὶ τῆς πρεσβείας Harpocr. 16. Ἀριστείδης] Aristid. vol. 1 p. 233. 17. ὃ δὴ καὶ φρόνιμον ἔξεστιν εἰπεῖν] ὃ καὶ φρόνιμον καὶ εὔηθες ἔξεστι προσειπεῖν Aristid.

24. ἐμφοροῦμαι ἐπὶ πόματος. Λιβάνιος· οἱ δὲ τὸν ἄκρατον ἐνεφοροῦντο.

25. ἐπαγγελία λέγεται μὲν καὶ ἐπ' ἄλλων, λέγεται δὲ καὶ ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξόν.

26. εἴποις ἀντὶ τοῦ λέξεις, ὃ συντάσσεται δοτικῇ. καὶ εἴποις ἀντὶ τοῦ ὀνομάσεις, ὃ συντάσσεται αἰτιατικῇ. Ἀριστείδης· τί δ' ἂν εἴποις τὸ φρέαρ τὸ ἱερόν;

27. εὖ σημαίνει τὸ καλὸν καὶ τὸ ῥᾴδιον. Ἱπποκράτης· εὐφόρως φέρουσιν.

28. ἐμβάλλω τὸ εἰσάγω. καὶ ἐμβάλλω τὸ εἰσέρχομαι. Ἀριστοφάνης· ἀκούσῃ γὰρ μέλη κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ. καὶ Λιβάνιος· ἕως εἰς τὸ ἄστυ ποτὲ καὶ τὴν ἀγορὰν ἐνεβάλομεν.

29. εἰργάσατο τῆς ἡμέρας πολλάκις τῶν Ἀττικῶν ἐστιν.

30. ἐψεύσατο ἀμέσως χωρὶς προθέσεως. Συνέσιος· Ἀνδρόνικος τὴν ἐκκλησίαν ψευσάμενος. καὶ Χρυσόστομος· ἕβδομον ὅτι τὸν θεὸν ἐψεύσατο.

31. ἐμπιστεύω ἐνεργητικῶς. Χρυσόστομος· οὕτω καὶ ὁ δεσπότης ὁ ἡμέτερος πάντα τὰ ὁρώμενα ἐμπιστεύσας τῷ ἀνθρώπῳ. παθητικῶς δὲ ὡς ἐπὶ τὸ πλεῖστον γράφεται.

32. ἐπιπολῆς γράφεται, ἀλλὰ καὶ ἐξεπιπολῆς. Θεολόγος· οὐκ ἐξεπιπολῆς χαρασσομένους. καὶ Χρυσόστομος· καὶ ἐξεπιπολῆς

---

1. Λιβάνιος] Liban. Decl. vol. 4 p. 658, 10. 3. 4. uberiora praebet Harpocr. p. 76, 4. cf. Suid. v. ἐπαγγελία. 6. Ἀριστείδης] Aristid. vol. 1 p. 408. 8. Ἱπποκράτης] locos Hippocratis indicavit Lobeckius Paral. p. 533. 10. Ἀριστοφάνης] Ar. Ran. 205 sq. 11. ἐπειδὰν cod., ἐπειδὰν ed. pr 12. Λιβάνιος] Liban. Decl. vol. 4 p. 614, 20. εἰς τὸ ἄστυ] εἰς ἄστυ in Liban. ed., sed εἰς τὸ ἄστυ cod. B. 13. ἐστίν ed. pr., ἐστιν sine accentu cod. 14. Συνέσιος] Synes. Epist. 72 p. 218 C. 18. ἡμέτερα ed. pr., ἡμέτερος cod. 19. ὡσεπιτοπλεῖστον cod., ὡς ἐπιτοπλεῖστον ed. pr. 20. ἐπιπολλῆς (primitus ἐπὶ πολλῆς) cod., ἐπιπολῆς ed. pr. ἐξ ἐπὶ πολῆς primitus cod. Θεολόγος] Greg. Naz. Orat. XLI p. 675 B. 21. χαρασσόμενα ed. pr., χαρασσομένους cod. et Greg. Naz.

τοῖς ἀνεγνωσμένοις προσέχοντες. ἀναλογώτερον δὲ τὸ ἐπιπολῆς, ὅτι καὶ ἐπιπόλαιον.

33. ἐπιπάππου γράφει Λιβάνιος. καὶ Χρυσόστομος· τὸ ὄνομα τοῦ πάππου καὶ τοῦ ἐπιπάππου.

34. ἐχομένως ἀντὶ τοῦ πλησίον. Ἱμέριος· ἄνωθεν μὲν Παιόνων ἐπικαθημένων, ἐχομένως δὲ Ἰλλυριῶν καὶ Μυσῶν παραδιδόντων τὸ γείτοσιν εἶναι τῆς πόλεως.

35. ἐξεστηκὼς λέγεται ἁρμοζόντως καὶ ἐπὶ τετραμμένου οἴνου. Ἀριστείδης· οἷον εἴ τις μετὰ ἀνθοσμίαν οἶνον τῶν ἐξεστηκότων τινὰ πίνει.

36. ἐφήμερος ὁ θνητός. Ἀριστοφάνης· τί με καλεῖς, ὦ 'φήμερε. καὶ Μάξιμος· τί οὖν ἄλλο ἡγῇ τῇ ψυχῇ εἶναι τὸ δέρμα τοῦτο καὶ τὰ ὀστᾶ καὶ τὰς σάρκας; χλανίδια ἐφήμερα καὶ ῥάκια ἀσθενῆ.

37. ἐνοχλῶ δοτικῇ καὶ αἰτιατικῇ ἀττικῶς.

38. ἐκτοπίσαι ἀντὶ τοῦ ἀπομακρῦναι. Θεολόγος· καὶ ἐκτοπίσας εἰς πέρας. καὶ Μάξιμος· ἐκτοπίσαι τὸ χωρίον ποιητικῶς μάλα τῆς καθ' ἡμᾶς θαλάττης.

39. ἐκ τῆς ἴσης γράφουσιν οἱ Ἀττικοὶ ἀντὶ τοῦ ἐπίσης. Μά-

---

1. ἀναγνωσμένοις cod. 3. ἐπὶ πάππου cod. pr. γράφεται ed. pr., γράφει cod. ut videtur. Λιβάνιος] Liban. Decl. vol. 4 p. 140, 23: καὶ λέγει τίτθας καὶ τιτθίδας (immo τήθας καὶ τηθίδας), πάππους καὶ ἐπιπάππους. cf. vol. 1 p. 175, 15: πάππου δὲ καὶ ἐπιπάππου μνησθῆναι μὲν ὁμολογῶ πολλάκις. vol. 3 p. 110, 1: ἐμαρτύρησε μὲν ἂν οὑμὸς ἐπίπαππος, ἐμαρτύρησε δ' ἂν ὁ πάππος. verba καὶ Χρυσόστομος primum omissa versibus interposuit codicis scriba. 5. Ἱμέριος] Himerius Orat. V, 6. 6. καθημένων ed. pr., ἐπικαθημένων cod., ἐπικαθημένων τῇ πόλει Himer. 8. ἐπι τετραμμένου cod., ἐπὶ τετραμμένου ed. pr. 9. Ἀριστείδης] Aristid. vol. 1 p. 413. 10. πίνει] πίνοι Aristid. 11. Ἀριστοφάνης] Ar. Nub. 223. 12. Μάξιμος] Maximus Tyr. XIII, 5 vol. 1 p. 240. 13. χανίδια cod., ἢ χλανίδια Maximus. 16. ἐκτοπῆσαι pr. cod. 17. Μάξιμος] Maximus Tyr. XIV, 2 vol. 1 p. 251. 19. Μάξιμος] Maximus Tyr. XX, 6 vol. 1 p. 388.

ξιμος· ὁ μὲν γὰρ φίλος τὸ φαινόμενον αὐτῷ ἀγαθὸν εἰς κοινὸν καταθέμενος τῷ φίλῳ, ἐάν τε λυπηρὸν τούτῳ ᾖ ἐάν τε ἡδύ, συναπολαύει αὐτῷ ἐκ τῆς ἴσης.

26. πλεῖν ἀντὶ τοῦ πλέον τῶν Ἀττικῶν. Κύπριος· δέσποτά μου ποθεινότατε, ἀνέγνων τὸν λόγον πλεῖν ἢ τετράκις.

27. πρὸς ἥλιον ἀνίσχοντα ἀντὶ τοῦ πρὸς τὸ ἑῷον μέρος.

28. περίοδος ἡ περιαργία. ὁ μέγας Βασίλειος· καὶ πῶς οὐ μυθῶδες τῆς τοιαύτης περιόδου τῶν θεῶν χρῄζειν πρὸς τὴν τῶν νοηθέντων δήλωσιν.

29. πολλαχοῦ τῶν τόπων ἀντὶ τοῦ εἰς πολλοὺς τόπους. ὁ μέγας Βασίλειος· πολλαχοῦ δὲ τῶν παραλίων τόπων ἔστιν ἱστορῆσαι.

30. πίστις ἡ στοργή. Λιβάνιος· τὸν ἑαυτῆς ἄνδρα παρ' αὐτὸν τὸν τῆς πίστεως καιρὸν διαχρησαμένης.

31. παράλογος ἀρσενικῶς. Θουκυδίδης· οὐκ ἄν τις προνοήσειεν οἷον τοῦ πολέμου τὸν παράλογον.

---

2. πένετο ed. pr., ἐπένετο cod. 4. 5. ὅτε πνοὴν ἔχει τις] verba vitiosa, quorum medelam desidero. ceterum τίς cod., τις ed. pr.

5. ὁ Θεολόγος] Greg. Naz. Orat. XX p. 317 D. idem locus supra allatus est A, 190 p. 32, 12. 6. 7. πλὴν ἀντὶ et πλὴν ἢ ed. pr., πλεῖν ἀντὶ et πλεῖν ἢ cod., ubi pro πλεῖν fortasse primum πλῆν scriptum fuit. 9. περιαργία] sic cod., fortasse περιεργία scribendum.

13. παραλίων] ί in codice ex ει factum est. τόπων] pro τ litera primitus in codice λ scriptum fuit. 14. Λιβάνιος] Libanius Decl. vol. 4 p. 767, 18. 14. 15. παρ' αὐτὸν τὸν τῆς πίστεως] περὶ τὸν τῆς πίστεως in Libanio ed. Reisk., sed παρ' αὐτὸν τὸν τῆς πίστεως B.

15. καιρὸν] καὶ κοινωνίας καιρὸν Liban. διαχρησαμένης] χρησαμένης pr. cod. 16. 17. rectius lexicographus scripturus erat: παράλογος ἀρσενικῶς, ὃ οὐκ ἄν τις προνοήσειεν. Θουκυδίδης. οἷον τοῦ πολέμου τὸν παράλογον. vide Thuc. I, 78, 1: τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστί, πρὶν ἐν αὐτῷ γενέσθαι προδιάγνωτε. inprimis vero Schol. Lucian. p. 134. Phot. Lex. p. 386, 17. Suid. v. παράλογον. προνοήσειεν] προσδοκήσειεν grammatici modo allati.

32. παρὰ τόπον ἀντὶ τοῦ εἰς κακὸν τόπον, οἱονεὶ ἔξω τοῦ καλοῦ τόπου. Συνέσιος· παρὰ τόπον ὁρμήσαντι διὰ τὴν ἀπορίαν.

33. περιδεῖν ἀντὶ τοῦ περιδεσμεῖν. Ξενοφῶν· διδάσκει περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακκία περιδεῖν.

34. πράξαντες ἀντὶ τοῦ βουλευσάμενοι. Θουκυδίδης· οἱ δὲ μετὰ Ἀθηναίων πράξαντες ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας.

35. πραττομένους ἀντὶ τοῦ ἀπαιτουμένους. Ἰσοκράτης· καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους.

36. προσειλήφεσαν ἀντὶ τοῦ ὑπέλαβον. Ἰώσηπος· προσειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος μηδὲν αὐτὸν νοήσασθαι ἐκ τῶν ὑπονοηθέντων.

37. παιδίσκη ἡ δούλη. Λυσίας· ἐξελθοῦσα αὐτοῦ ἡ παιδίσκη τὴν θύραν ἀνοίγνυσι. καὶ παιδίσκη ἡ ἄγαμος.

---

1. 2. cf. Suidas: παράτοπον· εἰς κακὸν τόπον. παράτοπον ὁρμίσαντες διὰ τὴν ἀπειρίαν, ἔστι δ' ὅτε καὶ διὰ τὰς ἀμπώτεις τῆς θαλάσσης. 1. παρατόπον cod., παρὰ τόπον ed. pr., male παράτοπον Suidae libri. 2. Συνέσιος] huius nomen Suidas ignorat, neque crediderim Synesii esse quae afferuntur verba. ὁρμήσαντι διὰ τὴν ἀπορίαν] praestat Suidae lectio. 3. 4. cf. Suid. v. περιδεῖν. 3. Ξενοφῶν] Xen. Anab. IV, 5, 36. διδάσκει] ὁ δὲ διδάσκει Suid., διδάσκει ὁ κωμάρχης Xen. 4. σάκκια ed. pr., σακκία cod. περιδεῖν] περιειλεῖν meliores Xenophontis libri. 5. 6. similiter Suid. v. πράξαντες. 5. Θουκυδίδης] Thuc. IV, 68, 4. οἱ δὲ] οἱ Thuc. 6. μετὰ Ἀθηναίων πράξαντες] πρὸς τοὺς Ἀθηναίους πράξαντες καὶ ἄλλο (ἄλλοι libri) μετ' αὐτῶν πλῆθος ὃ ξυνῄδει Thuc. 7. 8. eadem fere Suid. v. πραττομένους. 7. Ἰσοκράτης] Isocr. 13, 7. 9—11. cf. Suid. v. προσειλήφεσαν. 9. ἀντὶ τοῦ ὑπέλαβον] ὑπέλαβον, ἐνενόησαν Suid. Ἰώσηπος] Iosephus Bell. Iud. II, 21, 3 vol. 5 p. 218, 1. 9. 10. προσειλήφεσαν] προειλήφεσαν Ios. 10. μηδὲν] οὐδὲν Ios. νοήσασθαι] ἀρνήσασθαι Suid., ἀρνήσεσθαι Ios. ἐκ τῶν] τῶν Ios. et Suid. 12. 13. cf. Poll. 3, 76: παιδίσκην δὲ τὴν θεραπαινίδα Λυσίας ὠνόμασεν, εἰ μὴ ἀμφίβολόν ἐστι τοὔνομα, πότερον ἡλικίας ἢ τύχης· λέγει γὰρ ἐν τῷ κατὰ Καλλίου ὕβρεως· ἐξελθοῦσα αὐτοῦ ἡ παιδίσκη τὴν θύραν ἀνοίγνυσιν.

38. παραμόνιμον τὸ διηνεκές. Πλάτων· βέβαιον ἔχουσι καὶ παραμόνιμον τὴν ὠφέλειαν.

39. παραιρεῖται ἀντὶ τοῦ ἐλαττοῖ. Πλούταρχος· τοὺς μὲν ἄλλο τι φυτεύοντας ἐν ἀγρῷ πέντε πόδας ἀπέχειν τοῦ γείτονος κελεύσας, τοὺς δὲ συκῆν ἢ ἐλαίαν ἐννέα· πορρωτέρω γὰρ ἐξικνεῖται ταῦτα ταῖς ῥίζαις καὶ οὐ πᾶσι γειτνιᾷ τοῖς φυτοῖς ἀσινῶς, ἀλλὰ καὶ τροφὴν παραιρεῖται καὶ βλάπτουσαν ἐνίοις ἀπορροὴν ἀφίησιν.

40. παρουσία καὶ ἡ περιουσία. Δείναρχος ἐν τῷ περὶ τῆς νεώς. Θηρίοις· ἔχοντες εὐπαθῆ βίον παρουσίαν τε χρημάτων.

41. παρήλθοσαν. Κύπριος· ἐξ ὅτου τὰς βεμβράνας εἰλήφεις, μῆνες παρήλθοσαν τρεῖς.

42. περιστοιχίζεται ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν. κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν ἃ καλοῦσι στίχους ἢ στοίχους.

43. παραμύθιον ἐπὶ οὐδετέρου. Λιβάνιος· καὶ οὐκ ἦν πρὸς παράδειγμα βλέψαντι λαβεῖν παραμύθιον.

44. πρὸς ὀργὴν εἶπεν ἀντὶ τοῦ ὀργίλως. Πλούταρχος· ἡμᾶς δ', εἶπεν ἤδη πρὸς ὀργὴν ὁ Κροῖσος.

45. περιέπουσιν ἀντὶ τοῦ περιφυλάσσουσιν ἐπὶ τῶν φιλτάτων, οἷον οἱ γονεῖς τὰ τέκνα ἢ τὰ στρατόπεδα τὸν ἄλλον λαόν. καὶ περιέπουσιν ἀντὶ τοῦ ὑποβλέπουσιν. Ἡρόδοτος· τοῖσι μὲν δὴ τῶν

---

1. Πλάτων] Plat. Theag. p. 130 A. 3. Πλούταρχος] Plut. Sol. c. 23. 4. ἀλλό τι cod., ἄλλο τι ed. pr. 8. 9. fons annotationis est Harpocr. p. 148, 24. cf. Phot. Lex. p. 399, 11. Suid. v. παρουσία. Anecd. Oxon. vol. 2 p. 498, 15. 8. περὶ] ὑπὲρ Harpocrationis libri plerique, περὶ C. 9. νέως ed. pr., νεὼς cod. Θηρίοις] Κράτης Harpocr. epit. Phot. Suid. Anecd. Oxon., unde Κράτης Θηρίοις scripsit Maussacus. vide Meinekii Com. 2 p. 240. παρουσίαν τὲ cod., παρουσίαν τε ed. pr. 10. ἐξότου cod., ἐξ ὅτου ed. pr. 12—14. ex Harpocr. p. 152, 17. cf. Phot. Lex. p. 423, 7. et Suid. v. περιστοιχίζεται. 12. περιστειχίζεται ed. pr., περιστοιχίζεται cod. κυνηγετῶν ed. pr., τῶν κυνηγετῶν cod. 15. Λιβάνιος] Libanius Decl. vol. 4 p. 142, 28. 17. Πλούταρχος] Plut. Sol. c. 27. 18. εἶεν ed. pr., εἶπεν cod. et Plut. Κροῖσσος cod., Κροῖσος ed. pr. 21. Ἡρόδοτος] Herodotus II, 69, 1.

Αἰγυπτίων ἱροί εἰσιν οἱ κροκόδειλοι, τοῖσι δὲ οὔ, ἀλλ' ἅτε πολεμίους περιέπουσιν.

46. παραθέειν ἀντὶ τοῦ ἐγγύτατα τρέχειν. Θεολόγος· παραθέων ἐγγύθεν ἐν πωλικῷ τῷ φρυάγματι. καὶ παραθέειν ἀντὶ τοῦ ὑπερτρέχειν. Ἱμέριος· κἂν τάχει παραθέωσι τοὺς ἄλλους ἅπαντας.

47. πλευρὰ ἐπὶ οὐδετέρου καὶ ἐπὶ θηλυκοῦ. Εὐριπίδης· περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰν νωχελῆ νόσῳ.

48. παρήγγειλεν ἀντὶ τοῦ ἔφθασε, καὶ τίθεται ἐπὶ ἡλικίας, οἷον παρήγγειλε τὸν μείρακα. τάττεται δὲ καὶ ἐπὶ ἄλλου πράγματος. Ἱμέριος· καὶ αὐτὸς ὥσπερ ὀλυμπικόν τι στάδιον τὴν ἡμετέραν συνουσίαν παρήγγειλεν. οὕτω τάττεται καὶ τὸ παρήμειψε.

49. πρὶν κοινῶς ἀπαρεμφάτῳ ῥήματι συνταςσόμενον ἐπάγεται πτῶσιν αἰτιατικήν, ἀττικῶς δὲ μετὰ παρεληλυθότος ῥήματος συνταςσόμενον ἐπάγεται εὐθεῖαν. Σοφοκλῆς· ἠγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος τῶν ἐκεῖ, πρίν με τύχη τοιάδ' ἐπέστη.

50. πρωίτερον Πλάτων ἐν Θεαιτήτῳ· πρωίτερον τοῦ δέοντος ἀπελθόντες. καὶ ἐν τῷ περὶ ψυχῆς πρωίτατα λέγει.

51. πολλάκις ἀντὶ τοῦ ἅπαξ. Θεολόγος· ἐπεὶ καὶ τὰ ἐναντία πολλάκις πλείω τοὺς ἔχοντας ὤνησεν, ὥσπερ πενίαι τε καὶ πλοῦτοι δόξαι τε καὶ ἀδοξίαι. καὶ πολλάκις ἀντὶ τοῦ πλειστάκις. Προκόπιος· πολλάκις μὲν εἶπε κακῶς, πολλάκις δὲ καὶ χεῖρας ἀνέτεινε κατὰ τῆς τεκούσης, ὦ Ζεῦ.

---

3. Θεολόγος] Greg. Naz. Orat. XX p. 324 D. 4. πολικῶ cod., πωλικῷ ed. pr. et Greg. Naz. 6. Εὐριπίδης] Eur. Or. 800. 7. πλευρὰν] πλευρὰ Eur., ubi πλευρὰν aliquot libri. νωχελήν νόσῳ ed. pr., νωχελῆ νόσω cod. 14. Σοφοκλῆς] Soph. Oed. R. 775—777. 15. πρίν με] πρίν μοι Soph. 16. Πλάτων ἐν Θεαιτήτῳ] Plat. Theaet. p. 150 E: ἀπῆλθον πρωιαίτερον τοῦ δέοντος, ἀπελθόντες δὲ τά τε λοιπὰ ἐξήμβλωσαν κτέ. 17. ἐν τῷ περὶ ψυχῆς] Plat. Phaed. p. 59 E: ἧκειν ὡς πρωιαίτατα εἰς τὸ εἰωθός. 18. Θεολόγος] Greg. Naz. Orat. I p. 11 B. 20. ἀδοξία ed. pr., ἀδοξίαι cod. et Greg. Naz. 21. Προκόπιος] Procopius Gaz. Epist. 103 in Maii Class. auct. vol. 4 p. 272.

52. πλινθεῖον ὁ τόπος ἐν ᾧ πλίνθος πλάττεται. Λυσίας ἐν τῷ κατὰ Λυσιθέου.

53. παλαιὸν ἐνίοτε μὲν τὸ πρὸς ἕτερον νέον λέγεται, ἐνίοτε δὲ οὐ τῶν πρός τί ἐστιν, ἀλλὰ δηλοῖ μόνον τὸ πάλαι γεγονός.

54. πομπεῖα οὐδετέρως τὰ εἰς τὰς πομπὰς κατασκευαζόμενα σκεύη.

55. προβόλιον εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν, Ὑπερίδης λέγει.

56. παρθενίας ἀρσενικὸν ὁ ἀπὸ παρθένου υἱὸς παρά τισι λέγεται.

57. παρεξελθεῖν ἀντὶ τοῦ παρεκδραμεῖν. Ἡρόδοτος· σιγῇ δὲ παρεξελθεῖν τὸν κάμνοντα.

58. πορεύω γράφεται καὶ ἐνεργητικῶς. Σοφοκλῆς· πόρευσόν με πρὸς τὸν τάφον. καὶ Ἰουλιανός· πορεύοιεν δέ σε σὺν Ἀσκληπιῷ πάντες θεοὶ καὶ πάλιν ἡμῖν συντυχεῖν δοῖεν.

59. περὶ πολλοῦ ἀντὶ τοῦ φροντίδος ἄξιον. Λιβάνιος· ἐμοὶ δὲ ἦν ἐκείνη περὶ πολλοῦ, καὶ οὐδὲν ἐκώλυσεν ἡ τύχη.

---

1. 2. Harpocr. p. 154, 9. unde hauserunt Photius Lex. p. 434, 12 et Suidas v. πλινθεῖον. 1. πλινθεῖον] πλινθίων pr. cod. ut videtur. πλίθος πλάττεται cod., πλίνθος πλάττεται ed. pr. 3. ἐνιότε utroque loco ed. pr., ἐνίοτε cod. 4. τι ἐστὶ cod. 5. 6. ex Harpocr. p. 155, 16. cf. Phot. Lex. p. 442, 19 et Suid. v. πομπεία. 7. 8. ex Harpocr. p. 157, 12. cf. Phot. Lex. p. 451, 1. Anecd. Oxon. vol. 2 p. 498, 29. Suid. v. προβόλιον. 8. Ὑπερίδης λέγει] Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν τριήρων τροπικῶς ἐκ μεταφορᾶς ἐχρήσατο τῷ ὀνόματι Harp., ceteri grammatici Hyperidis nomen omittunt. 11. Ἡρόδοτος] Herodotus I, 197. 11. 12. σιγῇ δε cod., σιγῇ δὲ ed. pr. 13. καὶ om. ed. pr. Σοφοκλῆς] immo Eur. Or. 796: καί με πρὸς τύμβον πόρευσον πατρός. 14. καὶ etiam hoc loco om. ed. pr. Ἰουλιανός] Iulianus Epist. 39 p. 416 B. 15. θεοὶ] οἱ θεοὶ Iul. 16. περιπολλοῦ cod, περὶ πολλοῦ ed. pr. Λιβάνιος] Libanius Decl. vol. 4 p. 68, 7. 16. 17. ἐμοί δε cod., ἐμοὶ δὲ ed. pr. 17. περιπολλοῦ cod., περὶ πολλοῦ ed. pr. ἐκώλυσεν] ἐκώλυεν Liban.

60. πράγματα ἀττικῶς αἱ ὀχλήσεις. Ἀριστοφάνης· ἀλλά σοι παρέξω πράγματα. καὶ Λιβάνιος· ὡς εἴπερ ἀπαίρειν ἠβούλετο καὶ μὴ παρέχειν πράγματα.

61. πιστεύω δοτικῇ, ἀττικῶς αἰτιατικῇ ἐπὶ πραγμάτων. Σοφοκλῆς· ὦ πρὸς θεῶν πίστευσον, Οἰδίπους, τάδε. πιστεύω δὲ ἀντὶ τοῦ ἐμπιστεύομαι ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. πιστεύω ἀντὶ τοῦ λατρεύω μετὰ προθέσεως· πιστεύω εἰς τὸν θεόν.

62. πῶς δοκεῖς ἀντὶ τοῦ λίαν. Εὐριπίδης· κᾆτα πῶς δοκεῖς ἐκ γαληνῶν προσφθεγμάτων. καὶ Συνέσιος· πῶς δοκεῖτε δέδηγμαι τὴν καρδίαν.

63. πάντοθεν ἀπὸ παντὸς μέρους· πάντοσε εἰς πάντα μέρη· πάντοθι παντὶ μέρει.

64. προσεποιήσαντο ἀντὶ τοῦ ἀντεποιήσαντο. Ἰσαῖος ἐν τῷ κατὰ Νικοδήμου· οὐδεὶς πώποτε προσεποιήσατο οὐδ' ἠμφισβήτησε τῆς κληρονομίας ἐκείνων.

65. περιτυγχάνω δοτικῇ ὡς τὸ συντυγχάνω.

66. ποδεῶνες οἱ τοῦ δέρματος τόποι τῶν ποδῶν. Ἡρόδοτος· τῶν ἀσκῶν δύο ἢ τρεῖς ποδεῶνας.

67. πρόσκλησις ἡ εἰς δικαστήριον κλῆσις, καὶ προσκαλέ-

---

1. Ἀριστοφάνης] Ar. Plut. 20. 2. ἐβούλετο ed. pr., ἠβούλετο cod. 5. Σοφοκλῆς] Soph. Oed. R. 646. 7. λαρτεύω codex habere videtur, λατρεύω ed. pr. 8. Εὐριπίδης] Eur. Hec. 1160. 8. 9. πῶς δοκεῖς ἐκ γαληνῶν] ἐκ γαληνῶν πῶς δοκεῖς Eur. 9. Συνέσιος] Synes. Epist. 7 p. 171 B. 12. παντὶ μέρει] ἐν παντὶ μέρει malim. 13—15. Harpocr. p. 159, 22. cf. Phot. Lex. p. 359, 8 et Suid v. προσεποιήσαντο. 13. verba ἀντὶ τοῦ ἀντεποιήσαντο om. ed. pr. Ἰσαῖος ἐν τῷ κατὰ Νικοδήμου] Isaeus 3, 1. 14. ἠμφισβήτει ed. pr., ἠμφισβήτησε cod. sicut Harpocr. et Isaei libri. 15. ἐκείνων] ἐκείνῳ Isaeus. 17. Ἡρόδοτος] Herodotus II, 121, 13. 19—p. 147, 2. Harpocr. p. 159, 25. cf. Phot. Lex. p. 460, 22. et Suid. v. πρόσκλησις.

σασθαι τὸ παραγγέλλειν εἰς δίκην. Δημοσθένης ἐν τῷ περὶ Ἁγνίου κλήρου καὶ Ὑπερίδης ἐν τῷ πρὸς Δάμιππον.

68. περιῆν ἀντὶ τοῦ ἔζη. Συνέσιος· ἕως ὅτε περιῆν ὁ μακαρίτης Θεόδωρος. καὶ περιῆν ἀντὶ τοῦ ἐνίκα. οὔτε πρότερον ἐγὼ περιῆν.

69. προστησάμενος ἀντὶ τοῦ ἔργον ποιησάμενος. Συνέσιος· ὃς δ' ἂν τὴν ἐκκλησίαν προστησάμενος αὔξει βαλάντιον. καὶ Ἀριστείδης· μηδεμίαν προπέτειαν μηδὲ εὐήθειαν καταγνῷ τοῦ παντὸς ἐγχειρήματος, εἰ μήτε προστησάμενοι σχῆμα φαυλότερον τοῦ λόγου. καὶ Δημοσθένης· δόγμα κοινῇ προστησάμενοι. καὶ θεολόγος· μίαν ἐκ πασῶν ὑπόθεσιν προστησάμενος. καὶ ἀντὶ τοῦ προστάτην ποιησάμενος. θεολόγος· ἤδη δὲ πρὸς αὐτὴν ἡμῖν ἰτέον τὴν εὐφημίαν, αὐτὸν προστησαμένοις τοῦ λόγου τὸν ἐκείνου θεόν. καὶ ἀντὶ τοῦ ἁπλῶς ποιήσας. Ἰώσηπος· τὸν θεὸν προστησάμενοι στρατηγόν.

70. παντάπαν γράφεται καὶ παντάπασιν. Ἀριστείδης· τούτῳ γὰρ παντάπασιν ἡ ψυχὴ καθαίρεται.

---

1. Δημοσθένης ἐν τῷ περὶ Ἁγνίου κλήρου] Dem. 43, 15. ubi legitur: ὁ παῖς οὑτοσὶ προσεκαλέσατο Μακάρτατον τοῦ κλήρου τοῦ Ἁγνίου εἰς διαδικασίαν, et postea: ἡ πρόσκλησις ἐγένετο τῷ παιδὶ τούτῳ κατὰ τὸν νόμον. 2. ἐν om. cod. 3. Συνέσιος] Synesius Epist. 20 p. 176 C. ἕως ὅτε] ἕως ἔτι Synes. 4. 5. οὔτε πρότερον ἐγὼ περιῆν] Synes. Epist. 11 p. 172 D. 4. ἐγὼ] ὑμῶν ἐγὼ Synes. 6. Συνέσιος] Synes. Epist. 5 p. 170 A. 7. αὔξει] αὔξῃ Synes. Ἀριστείδης] Aristides vol. 1 p. 151. 8. μὴ δὲ cod., μηδὲ ed. pr. καταγνῶ cod. et ed. pr., καταγνῷ Aristid. 9. ... μήτε ed. pr., εἰ μήτε cod. et Aristid. 10. Δημοσθένης] fortasse Demosth. 5, 19: κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν Ἀμφικτυόνων δόγματα προστησάμενοι. θεολόγος] Greg. Naz. Orat. XX p. 316 D. 12. θεολόγος] Greg. Naz. Orat. XX p. 318 A. 14. Ἰώσηπος] Iosephus Ant. IV, 1, 1 vol. 1 p. 183, 3. 16. Ἀριστείδης] Aristides vol. 1 p. 156. 17. τούτῳ] οὕτω Aristid. καθαίρεται] προκαθαίρεται Aristid.

71. παραιτοῦμαι ἀντὶ τοῦ ἀπορρίπτω. Ἀριστείδης· καί μοι δοκεῖ τις ἂν εἰπεῖν παραιτησάμενος τὸν φθόνον. καὶ παραιτοῦμαι τὸ ἀξιῶ. Ἀριστείδης· παραιτεῖσθαι μὲν οὐκ οἶσθα ὅ τι δεῖ. καὶ Ἡρόδοτος· παραιτησάμενος βασιλέα εἰς Σικελίαν ἀπίκετο. καὶ παραιτοῦμαι τὸ αἰτίας ἀπολύω. Ἀριστείδης· ἐγὼ δ', εἰ μὲν ἢ τῆς αὐτῆς γνώμης ἔτι καὶ νῦν Ἀγαμέμνων εἴχετο ἢ περὶ ὧν ἥμαρτεν ἔξαρνος ἦν, οὐκ ἂν παρῃτούμην. καὶ Λιβάνιος· τίς γάρ εἶ σὺ ὁ τοῦτον παραιτούμενος;

72. παρεστησάμην ἀντὶ τοῦ ἐδουλωσάμην. Λιβάνιος· μακρὸν ἐπελθεῖν λόγῳ τὰς πόλεις ἃς ἐγὼ παρεστησάμην.

73. παραστήσασθαι ἀντὶ τοῦ εἰς δίκην προσκαλέσασθαι.

74. παρακαλῶ ἀντὶ τοῦ καθικετεύω. Λιβάνιος· καὶ Μενέλεως παρακαλῶν ἀπῆλθεν ἄπρακτος. καὶ ἀλλαχοῦ ὁ αὐτός· τὸ μὲν πρῶτον παρεκάλουν αὐτὴν τίκτειν ἡσυχῇ. καὶ παρακαλῶ ἀντὶ τοῦ καθέλκω. Λουκιανός· παρακαλοῦμαί σε τραύματος εἰς Ἄρειον πάγον. καὶ Εὐριπίδης· παρακαλεῖ δ' ἐκεῖθεν αὖ λύπη τις ἄλλη. καὶ παρακαλῶ τὸ παραμυθοῦμαι. Θεολόγος· αὐτὸς κατὰ τὸ πλῆθος τῆς αὐτοῦ χρηστότητος παρακαλέσαι ἡμᾶς παρακλήσει πολλῇ.

---

1. Ἀριστείδης] Aristides vol. 1 p. 165. 3. Ἀριστείδης] Aristides vol. 2 p. 156. οἶσθ .... ὅτι ed. pr., οἶσθα ὅτι cod., οὐδ' ὅ τι (al. οἶδα ὅ τι) Aristid. et Thom. M. p. 274, 10. 4. Ἡρόδοτος] Herodotus VI, 24, 2. βασιλέα εἰς Σικελίαν] βασιλῆα ἐς Σικελίην Herod.
5. Ἀριστείδης] Aristides vol. 2 p. 585. ἐγώ δ' cod., ἐγὼ δ' ed. pr.
9. Λιβάνιος] Libanius Decl. vol. 4 p. 51, 19. 12. Λιβάνιος] Libanius Decl. vol. 4 p. 76, 17. 13. ὁ αὐτός] Libanius Decl. vol. 4 p. 659, 4. 14. ἡσυχῇ] ἡσυχῶς male in Libanio edidit Reiskius.
15. Λουκιανός] Lucianus Tim. c. 46 vol. 1 p. 160. παρακαλοῦμαι σε cod., παρακαλοῦμαί σε ed. pr., προκαλοῦμαί σε parum apte Luciani codices, quod in προσκαλοῦμαί σε viri docti mutarunt. 16. Εὐριπίδης] Eur. Hec. 587 sq. λύπη τίς cod., λύπη τις ed. pr. 17. Θεολόγος] Greg. Naz. Orat. VI p. 141 C. 18. αὐτοῦ cod., ἑαυτοῦ Greg. Naz., αὑτοῦ scripsi. παρακαλέσαι ἡμᾶς] ἡμᾶς μὲν παρακαλέσαι Greg. Naz.

75. πρόσοψις ἡ ϑεωρία. Λουκιανός· ἀλλὰ μὴν χρυσίον ὑπέρυϑρον βαρὺ καὶ τὴν πρόσοψιν ὑπερήδιστον.

76. περιήγησαι ἀντὶ τοῦ λεπτομερῶς εἰπέ. Λουκιανός· περιήγησαι τὰ ἐν τῷ βίῳ ἅπαντα.

77. παρ' ἐλπίδας ἀντὶ τοῦ ἀνελπίστως. Εὐριπίδης· λεύσσεϑ' ὡς παρ' ἐλπίδας μοῖρα βαίνει. καὶ Προκόπιος· καὶ νῦν ᾄδουσι τέττιγες καὶ παρ' ἐλπίδας ἡμῖν ἡ σιγή.

78. παιδικὰ τὰ ἐρωτικά. Ἀριστείδης· νομίζοντες χάριεν καὶ κοῦφον ἐπ' ἀμφότερα ἐν τοῖς παιδικοῖς κριϑῆναι.

79. παραβάλλει ἀντὶ τοῦ παραγίνεται. Ἰουλιανός· καὶ τὸ μὴ παραβάλλειν τοῖς ϑεάτροις. καὶ παραβάλλει ἀντὶ τοῦ συγκρίνει. ϑεολόγος· μηδένα εἶναι ταῖς ἐκείνου παραβάλλειν συμφοραῖς. καὶ παραβάλλει ἀντὶ τοῦ ἐμβάλλει. Γοργίας· σφαλεραῖς καὶ ἀβεβαίοις εὐτυχίαις παραβάλλει τοὺς αὐτῇ χρωμένους.

80. προπεπωκότες τροπικῶς ἀντὶ τοῦ προδεδωκότες Δημοσϑένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

---

1. Λουκιανός] Lucianus Tim. c. 41 vol. 1 p. 153. χρησίον cod., χρυσίον ἐστὶν ἐπίσημον Luc. 2. ὑπέρρυϑρον cod., ὑπέρυϑρον Luc. 3. περιήγησον ed. pr., περιήγησαι cod. Λουκιανός] Lucianus Char. c. 1 vol. 1 p. 490. 4. περιήγησον ed. pr., περιήγησαι cod., περιήγησαι δὲ Luc. ceterum verba περιήγησαι ἀντὶ τοῦ λεπτομερῶς εἰπὲ Λουκιανός bis deinceps in codice scripta sunt, quod vitium tacite correxit ed. pr. 5. παρελπίδας cod., παρ' ἐλπίδας ed. pr. Εὐριπίδης] Eur. Or. 977 sq. 5. 6. λεύσεσϑ' cod. ut videtur, λεύσσεϑ' Eur. 6. παρελπίδας cod., παρ' ἐλπίδας ed. pr. Προκόπιος] Procopius Gaz. in Cuiacii Epist. Graec. p. 431. 7. παρελπίδας cod., παρ' ἐλπίδας ed. pr. 8. Ἀριστείδης] Aristides vol. 1 p. 169. 10. Ἰουλιανός] Iulianus Misop. p. 365 D. 13. Γοργίας] Gorgias Hel. encom. p. 96. 14. εὐτυχίαις] ἀτυχίαις perperam Gorgiae libri. παραβάλλει] περιβάλλει Gorg. 15. 16. locus repetitus ex Harpocr. p. 159, 6. cf. Phot. Lex. p. 457, 6 et Suid. v. προπεπωκότες. Δημοσϑένης ἐν τῳ ὑπὲρ Κτησιφῶντος] Dem. 18, 296: τὴν ἐλευϑερίαν προπεπωκότες.

81. προορῶν ἀντὶ τοῦ κηδόμενος. Ἡρόδοτος· ὡς ἐκείνων προορῶν ὅπως βίον ἄφθονον ἔχωσι.

82. προστιμήματα. ἔστι μέν τινα ἐν τοῖς νόμοις ὡρισμένα κατὰ τῶν ἀδικούντων, ὥσπερ ἡ ἐπωβελία παρ' Ἰσαίῳ ἐν τῷ κατὰ Διοκλέους.

83. πολλαχόσε ἐπίρρημα ἀντὶ τοῦ εἰς πολλοὺς τόπους. Θουκυδίδης· λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι καὶ περὶ Λῆμνον καὶ ἐν ἄλλοις χωρίοις.

84. παραιτούμενος ἀντὶ τοῦ συγγνώμην αἰτῶν καὶ κατηγορίας ἀπολύων. Ἀριστείδης· ἀλλ' ὥσπερ ἐκεῖνός σοι συγχωρεῖ τὰ δίκαια λέγειν, οὕτω σὺ πείθου παραιτουμένῳ.

85. παραβαλλόμενον ἀντὶ τοῦ διαμαχόμενον. Συνέσιος· οὐ γὰρ ἦν πρὸς τὴν Θρακῶν χιόνα παραβαλλόμενον τοιαῦτα χαρίζεσθαι. Λουκιανὸς δὲ παραβάλλεσθαι ἀντὶ τοῦ ἀσπάζεσθαι φησί· τὰ μὲν ἄξια προσίεσθαι καὶ παραβάλλεσθαι, τὰ φαῦλα δὲ ἀποκλείειν καὶ ἀπωθεῖν.

86. περιποιήσαντας ἀντὶ τοῦ διασώσαντας. Ἡρόδοτος· Κροίσῳ μέντοι συνήδεσθαι περιόντι, ἐκείνους μέντοι τοὺς περιποιήσαντας οὐ καταπροΐξεσθαι.

87. πρὸ πρόθεσις σύγκρισιν σημαίνουσα λέγεται μετὰ ἁπλῶς

---

1. Ἡρόδοτος] Herodotus II, 121, 4. 2. προορῶν] sic aliquot Herodoti libri, προορέων al. ὅπως] ὅκως Herod. 3—5. pleniora habet Harpocr. p. 160, 17. cf. Phot. Lex. p. 462, 18 et Suid. v. προστιμήματα. 3. ὁρισμένα cod., ὡρισμένα Harp. Phot. Suid. 6. Θουκυδίδης] Thuc. II, 47, 3. 8. λίμνων cod., Λῆμνον Thuc. 10. Ἀριστείδης] Aristides vol. 2 p. 585. ἐκεῖνος σοι cod., ἐκεῖνός σοι ed. pr.

10. 11. τὰ δίκαια] δίκαια Aristid. 11. σὺ] καὶ σὺ Aristid.

12. Συνέσιος] Synesius Epist. 61 p. 204 C. 14. Λουκιανός δε cod., Λουκιανὸς δὲ ed. pr. Λουκιανὸς] Lucianus Calumn. non temere cred. c. 30 vol. 3 p. 160. 15. τὰ ἄξια ed. pr., τὰ μὲν ἄξια cod. et Luc.

17. Ἡρόδοτος] Herodotus III, 36, 7. 18. μέν τοι συνήδεσθαι ed. pr., μέντοι συνήδεσθαι cod., μὲν συνήδεσθαι ἔφη Herod. περιόντι] περιεόντι Herod. 20. σημειοῦσα ed. pr., σημαίνουσα cod.

ονόματος, οἷον ὁ δεῖνα πρὸ τοῦ δεῖνος ἔχει τὸν δεῖνα, ἀντὶ τοῦ προτιμότερον. πολλάκις λέγεται καὶ μετὰ συγκριτικοῦ ὀνόματος. Ἡρόδοτος· πρὸ ἐλευθερίας ἦν ἀσπαστότερον.

88. παρθένος ἐπὶ γυναικός, ἠίθεος ἐπὶ ἀνδρός. Ἡρόδοτος· ἵστασαν χοροὺς παρθένων τε καὶ ἠιθέων.

89. παραβάλλεται ἀντὶ τοῦ μάχεται. Συνέσιος· ἀλλὰ καὶ πρὸς πίτταν ἀναζέουσαν παραβάλλεται.

90. ποιεῖν ἀντὶ τοῦ πράττειν, καὶ ἀντὶ τοῦ ποιητικῶς γράφειν. Λυσίας· τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσι. καὶ Λιβάνιος· καὶ τίς οὗτος ὁ ποιητὴς καὶ πότε ποιεῖν ἤρξατο;

91. πρὸ τοῦ ἀντὶ τοῦ πρῴην. Συνέσιος· καὶ τὰ μετὰ ταῦτα καὶ τὰ πρὸ τοῦ. καὶ Ἀριστείδης· ὥσθ' ὑπερῆρεν αὐτὴν τοσοῦτον ὅσον πρὸ τοῦ τὰς ἄλλας.

92. προαγωγὸς ἡ μαστροπός. ὅτε δὲ τὴν προαγωγὸν προσεῖπον ἐγώ, ἀπέσβεσε τὴν δᾷδα ὁ παῖς. καὶ προαγωγεύει ῥῆμα. Ἰουλιανός· ὑφ' οὗ σεαυτὸν προαγωγεύεις.

93. πρέπων ὁ ἁρμόζων· καὶ πρέπων ὁ διαπρεπὴς καὶ μέγας. Ἰουλιανός· καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων.

---

2. Ἡρόδοτος] Herodotus I, 62, 2. 3. ἐλευθερίας] ἐλευθερίης Herod. 4. Ἡρόδοτος] Herodotus III, 48, 3. 6. Συνέσιος] Synesius Calvit. encom. c. 13 p. 77 C. 9. Λυσίας] Lysias 2, 2. 10. tertium καὶ om. ed. pr. Λιβάνιος] Libanius Decl. vol. 4 p. 146, 3. 11. ὁ ποιητὴς] καὶ τίνος πατρὸς καὶ ποίου δήμου addit Liban. 12. προτοῦ cod. Συνέσιος] Synes. Epist. 92 p. 232 B. 13. προτοῦ cod, Ἀριστείδης] Aristides vol. 1 p. 205. αὐτὴν ed. pr. et fortasse cod., αὑτὴν Aristid. 14. προτοῦ cod. τὰς ἄλλας] τοὺς ἄλλους Aristid. 15. μαστρωπὸς cod. 15. 16. ὅτε δὲ — ὁ παῖς] verba Theophylacti Simoc. Epist. 51 p. 62 ed. Boiss. 16. δάδαν cod., ubi primum δάδδαν fuisse videtur, δᾷδα Theophyl. Sim. 17. Ἰουλιανός] Iulianus Epist. 59 p. 446 B. 19. Ἰουλιανός] Iulianus Epist. 16 p. 383 D.

94. προστρόπαιον ἀντὶ τοῦ ἄγος καὶ μίασμα, ὅθεν καὶ προστροπή. Δημοσθένης ἐν τῷ κατὰ Κτησιφῶντος.

95. πρὶν συντάσσεται μετὰ εὐκτικοῦ, ἀπαρεμφάτου καὶ ὁριστικοῦ.

96. προσέσχες ἀντὶ τοῦ ἔμαθες. καὶ προσέσχες ἀντὶ τοῦ ἐνελιμένισας. Συνέσιος· δείλης ὀψίας τῷ κατ' ἐρυθρὰν κόλπῳ προσέσχομεν.

97. πρότερον λέγεται κατὰ φύσιν, κατὰ χρόνον, κατὰ τάξιν καὶ κατὰ τιμήν.

98. πρόγονος λέγεται ἐπὶ υἱοῦ. Ἑρμογένης· ἐν δόξῃ μανίας μητρυιὰ τὸν μὲν υἱὸν ἔτρωσε, τὸν δὲ πρόγονον ἀπέκτεινε. καὶ πρόγονος ὁ τὴν ἄνω τάξιν τοῦ γένους ἔχων. Θεολόγος· δαίμονας δή τινας καὶ θεοὺς καὶ μύθους τοῖς προγόνοις ἐπιφημίζοντες.

99. προσήκει ἀντὶ τοῦ ἁρμόζει. καὶ προσήκει ἀντὶ τοῦ ἔρχεται. Εὐριπίδης· ἐνταῦθ' ἐλπίδος προσήκομεν.

100. παρρησία κυρίως τὸ ἐν λόγοις θαρρεῖν· καταχρηστικῶς δὲ τὸ καὶ ἑτέροις πράγμασι.

101. παύω ἀντὶ τοῦ ἀφίσταμαι καὶ λήγω, καὶ ἀμετάβατον, ὃ γενικῇ μόνῃ συντάσσεται, καὶ μεταβατικόν, ὃ ἀπὸ αἰτιατικῆς εἰς δοτικήν.

---

1. 2. neglegenter haec excerpta sunt ex Harpocr. p. 160, 21. cf. Phot. Lex. p. 463, 4. Suid. v. προστρόπαιον. **2.** Δημοσθένης ἐν τῷ κατὰ Κτησιφῶντος] immo Aeschines 3, 110: καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. erroris ansam praebuerunt Harpocrationis verba, qui praemisso Aeschinis loco haec subicit: ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. **3.** συντάττεται ed. pr., συντάσσεται cod. **6.** ἐλλιμένισας cod. Συνέσιος] Synesius Epist. 51 p. 189 A. **10.** Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 32, 4. **11.** μητρυιᾶ pr. cod. **12.** Θεολόγος] Greg. Naz. Orat. XX p. 318 D. **15.** Εὐριπίδης] Eur. Or. 693. **19.** ...γενικῇ ed. pr., ὃ γενικῇ cod., ubi ὃ ex ὦ factum est. **20.** εἰς δοτικήν] εἰς γενικήν dicendum erat.

102. περιῆλθεν ἀντὶ τοῦ κατὰ κύκλον ἐβάδισεν. Ἀριστοφάνης· περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ. καὶ περιῆλθεν ἀντὶ τοῦ ἁπλῶς ἦλθε, περιττῆς τῆς προθέσεως οὔσης. Ἱμέριος· ὅτε εἰς αὐτὸν περιῆλθε τὰ τῶν Μακεδόνων πράγματα.

103. παρέρχεται ἀντὶ τοῦ νικᾷ. Ἱμέριος· οὔτε ἡνιόχῳ τῆς ξυνωρίδος πλέον οὐδέν, κἂν τὰς βορέου αὔρας τῷ τάχει παρέρχηται. καὶ παρέρχεται ἀντὶ τοῦ φθείρεται. καὶ παρέρχεται ἀντὶ τοῦ ἁπλῶς ἔρχεται.

104. πάλιν ἀντὶ τοῦ ἐκ δευτέρου, ὅταν ἐπακολουθήσῃ πρᾶξις ὁμοία τῇ προηγησαμένῃ· οἷον ἔπληξέ τις καὶ πάλιν ἔπληξε. καὶ πάλιν ἀντὶ τοῦ ὡς τὸ πρότερον, ὅτε μὴ πρᾶξις ἐπακολουθήσει ὁμοία πράξει. Ἀριστοφάνης· οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι.

105. προστρίβω σοι μέμψιν, ἀποτρίβομαι δὲ τὴν κατηγορίαν.

106. πιλητὰ ὅσα τῶν πιεστῶν μόνιμον ἔχει τὴν πίεσιν· ἀπίλητα δὲ ἢ ὅσα ὅλως ἀπίεστα ἢ μὴ μόνιμον ἔχει τὴν πίεσιν.

107. προσβάλλει ἀντὶ τοῦ ἐχθρωδῶς κινεῖται. καὶ προσβάλλει ἀντὶ τοῦ ἐπάγει. Συνέσιος· ἀλλὰ κἂν τι προσβάλλω σοι χαλεπόν.

108. πλὴν ἀντὶ τοῦ χωρὶς συντάσσεται γενικῇ· πλὴν δὲ ἀντὶ τοῦ παρὸ διαφόρως. Ἀριστοφάνης· ἀλλ' οὐ θέμις πλὴν τοῖς

---

1. Ἀριστοφάνης] Ar. Plut. 679. **2.** καὶ περιῆλθε ed. pr., καὶ περιῆλθεν cod. **3.** περίττης ed. pr., περιττῆς cod. **6.** αὔρας] αὔρας ed. pr., in codice pro υ primum β scriptum fuit, supra prius α accentus et acutus et circumflexus legitur. **11.** ὁμοία] ὁμοίᾳ ed. pr., fortasse ὁμοία προηγησαμένῃ praeferendum. **12.** Ἀριστοφάνης] Ar. Plut. 117.
15. 16. hausta haec sunt ex Aristot. Meteorol. IV, 9 p. 387 a 15.
16. δὲ ὅσα ὅλως ed. pr., δὲ ἢ ὅσα ὅλως cod., δὲ ὅσα ἢ ὅλως recte Aristoteli tribuitur, cuius libri inter se dissentiunt. τὴν πίλησιν cod., τὴν πίεσιν Aristot. **20.** συντάττεται ed. pr., συντάσσεται cod.
21. Ἀριστοφάνης] Ar. Nub. 140.

μαϑηταῖσιν λέγειν. καὶ Λιβάνιος· ἀλλ' ἐπειδὴ καὶ ῥήτωρ ἡμῖν ἀναπέφηνας, δεῖξον προσγεγραμμένον πλὴν ἐάν τις ἀριστεύσῃ.

109. πολυτίμητος ὁ πολλὰ τετιμημένος. ὦ πολυτίμητοι νεφέλαι. πολύτιμος δὲ ὁ πολλοῦ ἄξιος, οἷον λίϑος, μάργαρος ἢ τοιοῦτον ἕτερον.

110. πρὸς τρόπου μου ἀντὶ τοῦ ὁμοιότροπος. Συνέσιος· κἀγὼ τὸν ἄνδρα τά τε ἄλλα ἐπαινῶ, πάνυ γάρ μοι πρὸς τρόπου.

111. πράττω ἐνεργητικῶς χωρὶς προϑέσεως σημαίνει καὶ τὸ ἀπαιτῶ. Συνέσιος· Ζηνᾶς ὁ πράξας πέρυσι τοὺς διπλοῦς φόρους.

112. προσφέρειν ἀντὶ τοῦ κομίζειν. προσφέρεσϑαι ἀντὶ τοῦ ὁμοιοῦσϑαι, καὶ ἀντὶ τοῦ μάχεσϑαι. Ἡρόδοτος· ἄνδρες Ἴωνες, αἵρεσιν ὑμῖν δίδομεν ἡμεῖς ὁποτέροις βούλεσϑε προσφέρεσϑαι, ἢ Πέρσῃσιν ἢ Φοίνιξι.

113. περιτροπὴ τὸ ὀλίσϑημα, ὡς ὁ ϑεολόγος· περιτρέπει γὰρ καὶ εἰ μή τις τῶν ἔνδον. καὶ περιτροπὴ ἡ χρονικὴ διαδοχή. ϑεολόγος· ἑκάστης τοῦ ἐνιαυτοῦ περιτροπῆς τὴν αὐτὴν ἡμέραν

---

1. μαϑηταῖσι cod. Λιβάνιος] Libanius Decl. vol. 4 p. 630, 25. ὑμῖν ed. pr., ἡμῖν cod. et Liban. **2.** ἀναπέφηνας cod., ἀναπέφηνας ed. pr. **3. 4.** ὦ πολυτίμητοι νεφέλαι] verba Aristoph. Nub. 269. **6.** προστρόπου cod. μου] μοι malim. Συνέσιος] Synesius Epist. 67 p. 214 C. **7.** προστρόπου cod. **9.** Συνέσιος] Synesius Epist. 79 p. 225 B. πέρυσι] πέρισυ pr. cod. διπλοὺς pr. cod. **11.** Ἡρόδοτος] Herodot. V, 109, 1. **12.** ἡμεῖς ὁποτέροις] ἡμεῖς οἱ Κύπριοι ὁκοτέροισι Herod. προσφέρεσϑε cod., προσφέρεσϑαι ed. pr. et Herod. **14.** ὁ ϑεολόγος] Greg. Naz. Orat. XX p. 351 C: περιτρέπει γάρ, καὶ εἰ μή τις τῶν ἐκ τοῦ βήματος ὑποσχὼν τὴν χεῖρα τὴν περιτροπὴν ἔστησε, κἂν κατηνέχϑη πτῶμα δακρύων ἄξιον. apparet ex his verbis mutilum esse lexicographi locum, qui non verbi περιτρέπειν sed nominis περιτροπή testem Gregorium Naz. adhibuerit. simili in causa p. 127, 5 verba φοβήϑητι τὸ ναυάγιον e Gregorio supplevi; hoc loco, ne quid invito lexicographo obtruderem, satius visum est additamento abstinere. **16.** ϑεολόγος, quod ed. pr. ignorat, addidi ipso viam monstrante codice, in quo primum ϑεολόγος τῆς περιτροπῆς scriptum erat,

ἐπαγούσης. καὶ Ἡρόδοτος· ἐν περιτροπῇσιν αἱ γυναῖκες φοιτῶσι τοῖσι Πέρσῃσι.

114. πόρρω κεῖται καὶ δηλωτικὸν τοῦ ἔξω, οἷον πόρρω τοῦ εἰκότος. καὶ δηλωτικὸν τοῦ εἰς βάϑος ἐντός, οἷον πόρρω σοφίας, ἀντὶ τοῦ ἐντὸς εἰς τὸ βάϑος τῆς σοφίας. καὶ Ἀριστείδης· ἀρξάμενοι μεταπαιδεύειν ἄνδρα οὕτω σεμνὸν καὶ πόρρω σοφίας ἐλαύνοντα. οὕτω λέγεται καὶ τὸ τηλοῦ, ὡς παρὰ Ἀριστοφάνει· σύγγνωϑι, τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.

115. πρεσβεύεται ἀντὶ τοῦ πρεσβείαν δέχεται. Ἱμέριος· λάϑρᾳ δὲ ὑπὲρ αὐτοῦ παρὰ βασιλέως πρεσβεύεται. πρεσβεύει δὲ ἀντὶ τοῦ πρέσβεις ἀποστέλλει. καὶ πρεσβεύει ἀντὶ τοῦ τιμᾷ. μάρτυρα ποιοῦμαι ϑεόν, ὃν φιλοσοφία καὶ φιλία πρεσβεύει.

116. πρόστιμον ἡ ἀνήκουσα τῷ πταίσματι τιμωρία. ϑεολόγος· ἀλλ' ἡμεῖς γε μὴ τὸ πρόστιμον ἐπιτείνωμεν. καὶ προστιμῶμαι ῥῆμα τὸ προσηκόντως κολάζω. Ἰουλιανός· τῇ ὑπακουούσῃ τάξει προστιμήσαιμι λίτρας ἑκατόν.

117. πελαγίζει ἀντὶ τοῦ εἰς πέλαγος ἀποκαϑιστᾷ, μεταβατικῶς. Ἱμέριος· καὶ κρουνοὶ πλείους ἀπὸ πάσης πλευρᾶς διὰ ϑη-

---

tum verba ϑεολόγος τῆς deleta et ἑκάστης τοῦ ἐνιαυτοῦ in margine addita sunt. nimirum Gregorii Naz. sunt quae afferuntur verba repetita ex Orat. XLIII p. 697 C.

1. Ἡρόδοτος] Herodotus III, 69. 5. περιτροπῇσι ed. pr., περιτροπῇσιν cod., περιτροπῇ γὰρ δὴ Herod. φοιτῶσι] φοιτέουσι vel φοιτέωσι Herodoti libri. **5.** Ἀριστείδης] Aristides vol. 2 p. 492. **7.** Ἀριστοφάνει] Ar. Nub. 138. σύγγνωϑι] σύγγνωϑί μοι Aristoph.

11. 12. μάρτυρα ποιοῦμαι — πρεσβεύει] verba Synesii Epist. 95 p. 236 A. qui similiter locutus est Epist. 4 p. 164 C et Epist. 123 p. 259 D. **12.** ὃν φιλοσοφία] ὃν καὶ φιλοσοφία Synes. **13.** τιμωρία om. ed. pr. ϑεολόγος] Greg. Naz. Orat. IX p. 158 A. **14.** ἐπιτείνομεν cod., ἐπιτείνωμεν Greg. Naz. **15.** Ἰουλιανός] Iulianus Epist 6 p. 376 B. **16.** προστιμήσαιμι] προτιμήσαιμι plerique Iuliani libri praebere videntur, προστιμήσαιμι recte codex Paris. 2694 teste Boissonadio Anecd. vol. 5 p. 147. λίτρας] χρυσοῦ λίτρας Iul.

ρίων εἴδους ποταμοὺς ὅλους ἐκχέοντες πελαγίζουσι μὲν τὴν κολυμβήϑραν. καὶ πελαγίζει ἀντὶ τοῦ πλατύνεται ἀμεταβάτως. Ἱμέριος· πελαγίζει δὲ ὁ λόγος οὐχ ὁρῶν ὅρμον φαινόμενον.

118. προβιβάζοντες ἀντὶ τοῦ κατ' ὀλίγον ἄγοντες. Θεολόγος· ἂν δέ τινι αὐτῶν λέγωμεν οὑτωσὶ πράως καὶ λογικῶς προβιβάζοντες.

119. πληροῦται ἀντὶ τοῦ γεμίζεται. καὶ πληροῦται ἀντὶ τοῦ τελειοῦται. Θεολόγος· ἀλλά μοι νῦν ἐκεῖνο πληροῦσϑαι δοκεῖ καϑαρῶς.

120. πανημέριος ὁ καϑ' ὅλην ἡμέραν. Ἱμέριος· πομπὴν πανημέριον ὑπὸ πυρὶ καὶ λαμπάσι διὰ Καρχηδόνος ἐπόμπευσε.

121. πολιτεύω ἐνεργητικῶς γράφει Θουκυδίδης· ἐλευϑέρως τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν.

122. περιῆλϑεν ἀντὶ τοῦ κατὰ κύκλον ἐβάδισε. καὶ ἀντὶ τοῦ ἐξηπάτησεν. Ἡρόδοτος· ἑλὼν δὲ οὐκ ἀνήγαγεν ἐπ' Αἴγυπτον, σοφίῃ γάρ μιν περιῆλϑεν ὁ Φάνης. καὶ περιῆλϑεν ἀντὶ τοῦ προσεκτήϑη, οἷον περιῆλϑέ μοι τόδε.

123. προφέρω κυρίως μετὰ ὀνείδους λέγεται, οἷον προφέρω σοι τὴν δυσγένειαν.

124. πλεῖν ἐπὶ τῶν κυμάτων καὶ ἐπὶ ϑαλάσσης. καὶ πλεῖν

---

2. 3. Θεολόγος cod., Ἱμέριος scripsi. Himerii enim locus affertur Ecl. XXXII, 9, nec dubito quin Θεολόγος nomen ex gl. 118 repetitum sit, de quo errorum genere supra diximus p. 69. 4. Θεολόγος] Greg. Naz. Orat. I p. 22 A. 5. πρᾴως ed. pr., πράως cod. 5. 6. ἐμβιβάζοντες cod., προβιβάζοντες Greg. Naz. 8. Θεολόγος] Greg. Naz. Orat. I p. 34 B. 12. ante πολιτεύω in codice περιῆλϑεν α (vide gl. 122) primum scriptum fuit, quem errorem ipse librarius correxit. Θουκυδίδης] Thuc. II, 37, 2. ἐλευϑέρως] ἐλευϑέρως δὲ Thuc. 15. Ἡρόδοτος] Herodotus III, 4, 2. ἐπ'] ἐς Herod. 17. περιῆλϑε μοι cod., περιῆλϑέ μοι ed. pr. 18. οἷον προφέρει ed. pr., οἷον προφέρω cod. 19. post δυσγένειαν novae glossae signum cod. om.

θάλασσαν ἀττικῶς. Χρυσόστομος· πλέε θάλασσαν ἣν ἂν ἐθέλῃς. καὶ Ἱμέριος· πλεῖς δὲ πάλιν Αἰγαίου κύματα.

125. πλεῖν ἀντὶ τοῦ πλέον. Ἀριστοφάνης· πλεῖν σταδίου λαλίστερα.

126. παρὰ πόδας ἀντὶ τοῦ ἐγγύτατα. Συνέσιος· ἀλλὰ παρὰ πόδας ἀποδίδως τὴν χάριν.

127. παθαίνεσθαι ἀντὶ τοῦ ἀγανακτεῖν. καὶ παθαίνεσθαι ἀντὶ τοῦ πάθους μεταλαμβάνειν. Συνέσιος· ἀλλ' ἔστι περιουσία δυνάμεως ὁμιλοῦντα τοῖς χείροσι μένειν ἐπὶ τῆς φύσεως καὶ μηδένα τρόπον παθαίνεσθαι.

128. προστροπὴ ὁ μιασμός. Συνέσιος· καὶ ὁ θιγὼν ἐναγοῦς ἀπολαύει τῆς προστροπῆς.

129. ποιῶ τοῖς φίλοις ἀγαθόν, καὶ ποιῶ τοὺς φίλους ἀγαθόν. Συνέσιος· πρόθυμον εἶναι τοὺς φίλους ἀγαθόν τι ποιεῖν.

130. πώμαλα ἀντὶ τοῦ οὐδαμῶς Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ἔστι δὲ τὸ μὲν πῶ δώριον ἀντὶ τοῦ πόθεν, τὸ δὲ μάλα παρέλκεται, οἷον οὐ μάλα, οὐ πάνυ.

131. πῦργος ἀπὸ τέξ.

---

1. Χρυσόστομος] Ioh. Chrysost. de sacerd. lib. I vol. 1 p. 364 C. θάλασσαν] θάλατταν Ioh. Chrys. 3. πλεῖν ἀντὶ τοῦ πλέον] cf. II, 26. Ἀριστοφάνης] Ar. Ran. 91. πλεῖν σταδίου] eandem scripturam praebet Etym. M. p. 262, 14. πλεῖν ἢ σταδίῳ (al. σταδίου) Aristophanis libri. 5. παραπόδας cod. Συνέσιος] Synesius Epist. 17 p. 175 C. 6. παραπόδας cod. ἀποδίδῳς ed. pr., ἀποδίδως cod. 8. Συνέσιος] Synesius Epist. 57 p. 199 C. 11. Συνέσιος] Synesius Epist. 58 p. 202 D. ὁ θίγων cod. et Synes. ed., ὁ θιγὼν scripsi. 13. ποιῶ τοῖς] ποιῶ (superscr. τι) τοῖς primum codex habuisse videtur.

14. Συνέσιος] Synesius Epist. 44 p. 181 D. 15—17. ex Harpocr. p. 163, 27. cf. Phot. Lex. p. 479, 7 et Suid. v. πώμαλα.

15. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου] Dem. 19, 51. κατὰ ed. pr., κατ' cod. 16. τὸ μὲν πω ed. pr., τὸ μὲν πῶ cod. 17. παρέλκεται] παρέλκει malim cum Harp. Phot. Suid. 18. πῦργος ἀπὸ τέξ] sic cod., πύργος ἀντὶ τοῦ τάξις coniecit C. Lugebil.

132. πρόσω ἀντὶ τοῦ ἔμπροσθεν. καὶ αἱ μὲν ἄλλαι τέχναι πρόσω ἰοῦσαι κατὰ τὴν εὕρεσιν εὐστοχώτεραι γίνονται.

133. παραβεβλημένος ὁ ἐξισασμένος. καὶ παραβεβλημένος ὁ ἁπλῶς βεβλημένος, τῆς προθέσεως περιττῆς οὔσης. Κύπριος· ἐξ ὧν ἔσται χάριν οὐ φαύλην εἰκῇ παραβεβλημένοις πράγμασι καὶ ὅλην τὴν ἡμέραν πατουμένοις ὠνήσασθαι.

134. προτείνω καὶ ὑποτείνω σοι τόδε τὸ πρᾶγμα.

135. πομπεύει ἀντὶ τοῦ μετὰ τιμῆς προάγεται, τὸ ἐνεργητικὸν ἀντὶ παθητικοῦ. Θεολόγος· ἔπειτα πομπεύει διὰ τῆς ἀγορᾶς ἐπὶ τὸ λουτρὸν προαγόμενος. καὶ πομπεύει ἕτερος ἕτερον μεταβατικῶς ἀντὶ τοῦ δημοσιεύει καὶ ἀτιμάζει, ὅθεν καὶ πομπεία ἡ ἄτιμος περιαγωγή. πομπὴ δὲ ἐπὶ τιμῆς· μετὰ προσθήκης δὲ τοῦ κακὴ ἡ περιαγωγή.

136. πεῖρα ἡ δοκιμή. Θεολόγος· ὡς ἃ μὲν λελύπητο πεῖρά τις ἦν τοῦ πονηροῦ. καὶ πεῖρα ἡ μάθησις, ὅθεν καὶ ἄπειρος ὁ ἀδίδακτος. καὶ πεῖρα ἡ μετουσία. Προκόπιος· ὅσον οἱ ἀγαθοὶ λυποῦσιν ἄνδρες πεῖραν αὐτῶν παρέχοντες καὶ ἀφιστάμενοι τῶν ἐγνωκότων. καὶ πεῖρα ἡ ἐμπειρία ἤγουν ἡ ἀπὸ πολλῶν καὶ ὁμοίων συναχθεῖσα περί τι πρᾶγμα εἴδησις. Ἱπποκράτης· ἡ δὲ πεῖρα σφαλερά. καὶ πεῖρα ἡ σύννευσις. Ἰώσηπος· οὐ γὰρ αὐτὸν τοῦτο ὠφελήσει τραπείσης εἰς κατηγορίαν αὐτοῦ καὶ καταψευσαμένης πεῖραν ἐπὶ τἀνδρί.

---

1. 2. αἱ μὲν ἄλλαι — γίνονται] locus Maximi Tyr. IV, 1 vol. 1 p. 47. 2. γίνονται] γίγνονται Max. Tyr. 8. προσάγεται ed. pr., προάγεται cod. 9. ἀντὶ τοῦ παθητικοῦ ed. pr., ἀντὶ παθητικοῦ cod. Θεολόγος] Greg. Naz. Orat. XX p. 327 D. 11. πομπεῖα ed. pr., πομπεία cod. 14. Θεολόγος] Greg. Naz. Orat. XX p. 339 D. 14. 15. πεῖρα τίς cod., πεῖρά τις ed. pr. 16. Προκόπιος] Procopius Gaz. in Cuiacii Epist. Graec. p. 430. ὅσον οἱ ἀγαθοὶ] ὅσον ἀγαθοὶ Procop. ed. 19. Ἱπποκράτης] Hippocrates Aphor. I, 1 vol. 4 p. 458 ed. Littr. 20. σφαλερά] σφαλερή Hippocr. ἡ σύνεσις ed. pr., ἡ σύννευσις cod. Ἰώσηπος] Iosephus Ant. II, 4, 3 vol. 1 p. 73, 17. 21. ὠφελήσει] ὠφελήσειν Ios.

137. περιτρέπει ἕτερος ἕτερον. καὶ περιτρέπει ἀντὶ τοῦ περιτρέπεται. ϑεολόγος· καὶ τηνικαῦτα τὸ πάϑος γνωρίζεται, περιτρέπει γάρ.

138. πώποτε λαμβάνεται καὶ ἀντὶ τοῦ πάντας. Ἰώσηπος· συνέσει τε τοὺς πώποτ' ἀνϑρώπους ὑπερβάλλων, ἀντὶ τοῦ τοὺς φανέντας ποτὲ συνετούς.

139. ποῦ ἐπίρρημα κατ' ἀρχὰς τιϑέμενον δηλοῖ τόπον, οἷον ποῦ ποτε εἰσίν; ἐν τέλει δὲ τιϑέμενόν ἐστι σύνδεσμος καὶ οὐ δηλοῖ τόπον, ἀλλὰ τίϑεται πράγμασι τόπου δηλωτικοῖς ἢ ἀριϑμοῦ ἢ ἄλλου τινός, οἷον περί που τὴν Ἀλεξάνδρειαν. καὶ δίς που καὶ τρὶς ἐνσχεϑείσης τῆς νεώς.

140. πρόσϑεν ἀντὶ τοῦ πρῴην. πρόσϑεν ὑμῖν ἐπέστειλα ὅτι ἁμαρτάνετε Δολοβέλλαν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν ἐῶντες.

141. παραλύει ἀντὶ τοῦ διαλύει. καὶ παραλύει τὸν δεῖνα τῆς ἀρχῆς ἀντὶ τοῦ ἐκβάλλει. Ἡρόδοτος· Μαρδόνιον δὲ φλαύρως πρήξαντα τῷ στόλῳ παραλύει τῆς στρατηγίας.

142. πόρρω λέγεται καὶ ἐπὶ τόπου καὶ ἐπὶ ὥρας καὶ ἐπὶ γνώσεως καὶ ἐπὶ νοημάτων. οὕτω καὶ τὸ βαϑέως.

143. περιίσταται ἀντὶ τοῦ κρύπτεται. Ἰώσηπος· καὶ τὴν αἰτίαν ἐπυνϑάνετο, δι' ἣν πρότερον ἡδόμενος τῇ πρὸς αὐτὸν ὁμιλίᾳ νῦν φεύγει ταύτην καὶ περιίσταται. καὶ ἀντὶ τοῦ τρέπεται. Συνέ-

---

2. ϑεολόγος] Greg. Naz. Orat. XX p. 351 C. καὶ ignorat Greg. Naz. 4. Ἰώσηπος] Iosephus Ant. IV, 8, 49 vol. 1 p. 239, 22. 5. πώποτε ed. pr., πώποτ' cod. ὑπερβάλλων] ὑπερβαλὼν Ios. ed. 8. ποτὲ ed. pr., ποτε cod. τιϑέμενον ἔστι cod. 9. τίϑεται] τίϑεται ἐπὶ legendum videtur. 10. 11. δίς που — τῆς νεώς] ex Synesii Epist. 4 p. 161 D. 10. δίς] in codice ι ex υ factum est. 12. 13. πρόσϑεν ὑμῖν — ἐῶντες] Bruti Epist. 53 p. 19 ed. Westerm. 13. ἁμαρτάνεται cod., ἁμαρτάνετε Bruti Epist. ἐῶντες] sic in Bruti Epist. libri BCD, περιορῶντες al. 15. Ἡρόδοτος] Herodotus VI, 94, 2. δὲ] μὲν δὴ Herod. φλαύρως] accentus acutus e circumflexo factus est. 16. στρατηγίας] στρατηγίης Herod. 21. Συνέσιος] Synesius Epist. 67 p. 217 A et Epist. 69 p. 217 D.

σιος· εἰς τοὐναντίον μοι περιίσταται. καὶ ἀντὶ τοῦ καϑίσταται. Ἰώσηπος· ὡς τῆς ἡγεμονίας περιστησομένης εἰς τὸν αὐτῆς τεχϑησόμενον.

144. παννυχίζει ἀντὶ τοῦ διανυκτερεύει. Λιβάνιος· ἐν ᾄσμασιν ἐπαννύχιζον καὶ αὐλοῖς.

145. πέτομαι καὶ πέταμαι γράφεται καὶ πετῶμαι.

146. ποιοῦμαι καὶ ἀντὶ τοῦ ἡγοῦμαι. Εὐριπίδης· μηδὲ τῷ ϑυμουμένῳ τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί. καὶ ϑεολόγος· καὶ ἀντὶ βαπτίσματος ποιεῖται τὴν ὁρμὴν τοῦ βαπτίσματος.

147. πάντοϑεν ἀντὶ τοῦ ἀπὸ παντὸς μέρους, καὶ ἀντὶ τοῦ εἰς πᾶν μέρος. ϑεολόγος· εὐάλωτον ἡ τιμωρία καὶ πάντοϑεν περιπίπτουσα.

148. προῦπτον τὸ προφανές. ὁ μέγας Βασίλειος· εἰς προῦπτον κακὸν ἑαυτοὺς ἐμβάλλουσι. κεῖται δὲ ἐπὶ κακοῦ.

149. Πυϑὼν λέγεται ὁ τόπος, καὶ κλίνεται Πυϑῶνος. λέγεται δὲ καὶ Πυϑὼ Πυϑοῦς, ὡς δῆλον ἀπὸ τοῦ ποιητοῦ· Πυϑοῖ ἐν ἠγαϑέῃ.

150. προβατεία ἡ τῶν προβάτων νομή, καὶ ἡ τούτων κτῆσις, καὶ ἡ τέχνη. Ἰώσηπος· σκηνὰς ἐπήξατο καὶ προβατείαν ἠγάπησε.

151. περιελὼν ἀντὶ τοῦ περιλαβών, καὶ ἀντὶ τοῦ κυκλώσας,

---

2. Ἰώσηπος] Iosephus Ant. I, 10, 4 vol. 1 p. 35, 21. αὐτης sine accentu cod., αὐτῆς ed. pr., ὑπ' αὐτῆς Ios. 4. Λιβάνιος] Liban. Decl. vol. 4 p. 94, 5. 6. de noviciis formis πέταμαι et πετῶμαι v. Thes. Gr. L. vol. 6 p. 1015 B. C. 7. Εὐριπίδης] Eur. Hec. 299 sq. μὴ δὲ cod., μηδὲ ed. pr. 8. ϑεολόγος] Greg. Naz. Orat. XL p. 652 A. 11. ϑεολόγος] Greg. Naz. Orat. III p. 93 B. εὐάλωτον ἡ τιμωρία] εὐάλωτόν ἐστιν ἡ πονηρία Greg. Naz., qui expressit versum Demetrii Com. 2 p. 878: σφόδρ' εὐάλωτόν ἐστιν ἡ πονηρία. πάντοϑεν] πανταχόϑεν ἑαυτῇ Greg. Naz. 13. προὔπτον ed. pr., προῦπτον cod. 14. προὔπτον ed. pr., προῦπτον cod. verba κεῖται δὲ ἐπὶ κακοῦ post προφανές collocanda suspicor. ceterum cf. II, 19. 16. τοῦ ποιητοῦ] Hom. Od. ϑ, 80. ἐνὶ γαϑέῃ (pr. ἐνὶ γαϑείῃ) cod., ἐν ἠγαϑέῃ scripsi ex Hom. 18. Ἰώσηπος] Iosephus Ant. I, 2, 2 vol. 1 p. 13, 24.

καὶ ἀντὶ τοῦ κόψας καὶ ἐκβαλών. Ἑρμογένης· διδασκαλικώτερον γὰρ ἐσπούδασα τὰς τέχνας ἀφηγήσασϑαι, περιελὼν τὴν ἰσχὺν τοῦ λόγου καὶ γυμνὰ τιϑεὶς τὰ νοήματα.

152. πρόσκλησίς ἐστι λύσις δίκης ἐπί τινι ὡρισμένῳ ὅρκῳ ἢ μαρτυρίᾳ ἢ βασάνῳ ἢ ἄλλῳ τοιούτῳ.

153. πειρῶ ἐνεργητικῶς τὸ ἀπόπειραν λαμβάνω, καὶ συντάσσεται γενικῇ. Θουκυδίδης· καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες ἐπορεύοντο κατὰ γῆν. καὶ Ὅμηρος· ἀλλὰ τάχιστα πείρα ὅπως κεν δὴ σὴν πατρίδα γαῖαν ἵκηαι.

154. περιφανὲς καὶ ἀντὶ τοῦ ἁπλῶς φανερόν. ὁ μέγας Βασίλειος· κἀκεῖνος γὰρ ὑπὸ τούτου τοῦ πάϑους εἰς τὸ περιφανὲς κατενήνεκται πτῶμα.

155. πολίτης λέγεται καὶ ἀστὸς καὶ ἐπιχώριος καὶ ἐγχώριος καὶ ἡμεδαπὸς καὶ ὁμόφυλος· τὸ δὲ συμπολίτης οὐ δόκιμον· τὸ ἰϑαγενὴς δὲ καὶ αὐϑιγενὴς εὐτελές. βέλτιον δὲ ὁ αὐτόχϑων καὶ ὁ δημότης.

156. πλόκαμος, τὸ ὑποκοριστικὸν δὲ πλοκαμίς. ϑεολόγος· ξανϑαὶ πλοκαμίδες διαφαινόμεναί τε καὶ ὑποφαινόμεναι.

157. περὶ πρόϑεσις σημαίνει ἐν ταῖς συνϑέσεσι καὶ νίκην, περιγίνεται. καὶ ἄκρον, περιτομή. ὅϑεν καὶ παρ' Ἡσιόδῳ· περιτεμνέμεν οἴνας.

---

1. Ἑρμογένης] Hermogenes de invent. I, 1 in Rhet. Gr. vol. 3 p. 66, 19. 4. 5. annotatio repetita e Poll. VIII, 62. 4. πρόσκλησις] immo πρόκλησις, ut in Polluce editur. πρόσκλησις ἐστι cod. δίκης] τῆς δίκης Poll. 5. ἄλλῳ] ἄλλῳ τινὶ Poll. 7. Θουκυδίδης] Thuc. I, 61, 4. 8. Ὅμηρος] Hom. Od. δ, 544 sq. 13—16. paulo uberiora praebet Pollux III, 51. 15. ἰϑαγενὴς ed. pr., ἰϑαγενὴς δὲ cod. ἀνϑιγενὴς (primitus ἀνϑηγενὴς) cod., αὐϑιγενὴς scripsi e Polluce. βελτίων cod., βέλτιον Pollux. 17. ϑεολόγος] Greg. Naz. Orat. XI p. 181 C. 18. πλοκαμίδες] ita cod. et Greg. Naz., rectius πλοκαμῖδες scripseris. 20. περιγίνεσϑαι ed. pr., περιγίνεται cod.
Ἡσιόδῳ] Hesiod. Op. 570: τὴν φϑάμενος οἴνας περιταμνέμεν (al. περιτεμνέμεν). 21. περιτέμεν cod., περιτεμνέμεν scripsi.

158. πορίζω ἐνεργητικῶς τὸ παρέχω. πορίζομαι παϑητικῶς τὸ λαμβάνω, πολλάκις καὶ τὸ παρέχομαι. λαμβάνεται δὲ καὶ τὸ πορίζομαι ἀντὶ τοῦ πορίζω. Συνέσιος· ὅτι σοῦ πρεπούσας ὑποϑέσεις τῇ φύσει πορίζονται.

159. πολεμεῖ τῷ δεῖνι. καὶ πολεμεῖ μετὰ τοῦ δεῖνος τῷ δεῖνι ἀντὶ τοῦ σύμμαχον ἔχων. καὶ πολεμεῖ μετὰ τοῦ δεῖνος ἀντὶ τοῦ μάχεται. Θουκυδίδης· καὶ καταστάντες ἐπολέμουν μετὰ Φιλίππου.

160. πωλευϑείη ἐπὶ τοῦ πώλου, σκυλακευϑείη ἐπὶ τοῦ σκύλακος. Μάξιμος· εἰ ὁ μὲν ἵππος ὑπὸ τῆς τέχνης πωλευϑείη καλῶς, ὁ δὲ κύων ἐν ϑήρᾳ σκυλακευϑείη δεξιῶς.

161. πτήσσω τὸ διὰ φόβον κρύπτομαι. Μάξιμος· ἐπιστὰς τῷ δρυμῷ ἐρωτᾷ ποιμένα, εἴ που εἶδε πτήξασαν τὴν ἔλαφον. γράφεται καὶ μετὰ τῆς ὑπό. Ὀππιανός· χαράδραις ὑποπτήσσουσι.

162. πελάζω ἐγὼ καὶ πελάζω ἕτερον. Ὅμηρος· Γυρῇσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσε πέτρῃσιν μεγάλῃσι.

Ρ.

1. ῥάων ἐγένετο ἀντὶ τοῦ ἀνεκουφίσϑη τῆς νόσου. Ἰουλιανός· καὶ ἐγενόμην αὐτίκα ῥάων, ὥστε μοι γενέσϑαι κουφοτέραν τὴν

---

3. Συνέσιος] Synesius Epist. 38 p. 179 D. ὅτι σου cod. 7. Θουκυδίδης] Thuc. I, 59, 2. 8. πωλεϑείη ed. pr., πωλευϑείη cod., ubi pro ευ primum οφ scriptum fuisse videtur. σκυλακεϑείη ed. pr., σκυλευϑείη cod., σκυλακευϑείη scripsi. 9. Μάξιμος] Maximus Tyr. I, 1 vol. 1 p. 2. ὑπὸ τῆς τέχνης] ὑπὸ τέχνης Max. Tyr. πωλεϑείη ed. pr., πωλευϑείη cod. et Max. Tyr. 10. σκυλακεϑείη ed. pr., σκυλακευϑείη cod. et Max. Tyr. 11. Μάξιμος] Maximus Tyr. III, 1 vol. 1 p. 29. 13. Ὀππιανός] Oppianus Hal. II, 537: καί πού τιν' ὑποπτήσσοντα χαράδραις. χαράδρας ed. pr., χαράδραις cod.

14. Ὅμηρος] Hom. Od. δ, 500 sq. γυρήσι μιν cod., γυρῇσί μιν ed. pr., Γυρῇσίν μιν Hom. 15. ἐπέλασε πέτρῃσι cod. 16. Ἰουλιανός] Iulianus Misop. p. 342 A.

νόσον. καὶ ῥᾴων ἡ νόσος ἐγένετο. Θεολόγος· καὶ ἡμῖν τῇ παρουσίᾳ ῥᾴων ἡ νόσος γίνεται. ῥᾷον συγκριτικὸν λαμβάνεται καὶ ἀντ' ἐπιρρήματος. γράφεται δὲ καὶ ῥᾴως καὶ ῥᾳόνως.

2. ῥαΐσας ἀντὶ τοῦ κουφισμὸν σχὼν τῆς νόσου. οὕτω Δημοσθένης ἐν Φιλιππικοῖς.

3. ῥᾳστώνη ἡ ἀμέλεια καὶ ἡ ἡδονή. Μάξιμος· κἂν φιλῶς λέγῃ, δέξομαι καὶ ἀγαπήσω τὴν ῥᾳστώνην τῶν ἀκουσμάτων. καὶ ἡ εὐκολία. Μάξιμος· ἵππῳ καὶ κυνὶ οὐ χαλεπὸν τὸ οἰκεῖον ἀγαθόν, ἀλλὰ ῥᾳστώνη τούτων ἑκάστῳ ἐπιλαβέσθαι τῆς αὐτοῦ ἀρετῆς. καὶ ἡ ἄνεσις καὶ ἀνακουφισμός. Μάξιμος· καὶ γὰρ τῶν σωμάτων κόπτεται μέρη ὑπὲρ ῥᾳστώνης τοῦ ὅλου.

4. ῥοπὴ ἐπὶ σώματος, ὁρμὴ ἐπὶ ψυχῆς.

5. ῥᾴθυμος λέγεται καὶ ὁ μὴ εἰς λαγνείαν κατωφερής, ὅθεν καὶ ἵππους ῥᾳθύμους καλοῦσι τοὺς μὴ ὁρμῶντας ἐπὶ θηλείας.

6. ῥικτῶ ἀντὶ τοῦ ῥίπτω. Θεολόγος· ῥιπτοῦμεν τὰ ἅγια τοῖς κυσί.

---

1. νόσον] νύκτα recte Iul. Θεολόγος] Greg. Naz. Orat. XX p. 352 C. ἡμῖν] ὁμοῦ Greg. Naz. 3. ῥᾴως] cf. Suid.:.ῥᾳόνως· εὐκόλως. καὶ ῥᾴως ὁμοίως. certa istius formae exempla desideramus.
4. 5. similiter Harpocr. p. 164, 3 et alii lexicographi. 4. κουφισμὸν] ῥᾴως vel ῥᾷον Harp. σχὼν] ἔσχον ἐκ vel ἔχων ἐκ Harp.
οὕτω om. Harp. Δημοσθένης ἐν Φιλιππικοῖς] Dem. 1, 13: πάλιν ῥαΐσας οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν. 6. Μάξιμος nomen addidi ad explendum spatium in codice relictum. locus enim affertur Max. Tyr. X, 7 vol. 1 p. 180 sq. 7. δέξομαι καὶ ἀγαπήσω τὴν ῥᾳστώνην] δέξομαι καὶ ῥᾳστώνην Max. Tyr. ἀκουσάτων ed. pr., ἀκουσμάτων cod. et Max. Tyr. 8. Μάξιμος] Maximus Tyr. I, 1 vol. 1 p. 2. ἵππῳ] ἵππῳ μὲν Max. Tyr. 9. αὐτοῦ cod. ut videtur, αὑτοῦ scripsi e Max. Tyr. 10. ἀνακουφισμός] ὁ ἀνακουφισμός malim.
Μάξιμος] Maximus Tyr. III, 10 vol. 1 p. 45. 10. 11. κόπτεται] ἐκκόπτεται Max. Tyr. 12. post ψυχῆς novae glossae signum in codice deest. 14. ὀργῶντας malim. 15. Θεολόγος] Greg. Naz. Orat. I p. 33 B. ῥιπτοῦμαι ed. pr., ῥιπτοῦμεν cod. et Greg. Naz.

Σ.

1. σεμνὸς παρὰ ῥήτορσιν ὁ ἐμβριϑὴς καὶ ὀγκώδης.

2. σπιλὰς ἡ ὕφαλος, καὶ τὸ κάτωϑεν ἐκ τοῦ βυϑοῦ ἀνασπώμενον ἄγριον κῦμα. Συνέσιος· μόλις ἐκβιασϑεὶς ἀπέστη τοῦ διαναυμαχῆσαι πρὸς τὰς σπιλάδας.

3. σπένδω ἐνεργητικῶς τὸ ϑυσιάζω. σπένδομαι παϑητικῶς τὸ φιλιοῦμαι, καὶ τὸ ϑυσία γίνομαι. ϑεολόγος· ἄρτι τὴν ἐκδημίαν ποϑεῖ καὶ σπένδεται.

4. στασικώτερον τὸ ἑδραιότερον. Μάξιμος· οὐκ ἐν τῇ στασικωτέρᾳ καὶ ἑδραιοτέρᾳ καὶ ἀπηλλαγμένῃ τοῦ ῥεύματος.

5. σημεῖα αἱ σφραγῖδες. Δημοσϑένης ἐν τῷ πρὸς Φαίνιππον.

6. συχνὸς ἐπὶ λόγων ἢ ἐπὶ ἄλλων πραγμάτων λαμβανόμενον, ἀττικῶς λαμβάνεται καὶ ἐπὶ προσώπων. Συνέσιος· συχνοὶ παρ' ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς πλαττόμενοί τινας ὀνείρους.

7. σκευωρῶ τὸ ἐπιβουλεύω. καὶ σκευώρημα ἡ ἐπιβουλή. Λιβάνιος· ὅτι δὲ ἐκ ταύτης γέγονε τὸ σκευώρημα δῆλον.

---

2. κάτωϑεν τοῦ ed. pr., κάτωϑεν ἐκ τοῦ cod. 3. Συνέσιος] Synesius Epist. 4 p. 162 D. 6. ϑεολόγος] Greg. Naz. Orat. I p. 24 B.

8. στασικώτερον] sic cod., στασιμώτερον requiritur. Μάξιμος] Maximus Tyr. XVII, 8 vol. 1 p. 325. 8. 9. στασικωτέρᾳ] στασιμωτέρᾳ Max. Tyr. 10. ex Harpocr. p. 166, 1. cf. Phot. Lex. p. 509, 19 et Suid. v. σημεῖα. αἱ σφραγίδες cod., αἱ σφραγῖδες ed. pr., οὕτω λέγουσι τὰς σφραγῖδας Harp. Δημοσϑένης ἐν τῷ πρὸς Φαίνιππον] Dem. 42, 2. 8. 11. 12. λαμβανόμενον ἀττικῶς, λαμβάνεται ed. pr., λαμβανόμενον, ἀττικῶς, λαμβάνεται cod., λαμβανόμενον, ἀττικῶς λαμβάνεται scripsi. 12. Συνέσιος] Synesius Epist. 54 p. 190 B.

13. πλαττόμενοι τινὰς cod., πλαττόμενοί τινας ed. pr. 15. Λιβάνιος] Libanius Decl. 4 p. 759, 18. δῆλον] πρόδηλον Liban.

8. συσσημαίνεσθαι ἀντὶ τοῦ κατασφραγίζεσθαι. Λυκοῦργος· συσσημαίνεσθαι τὰ γραμματεῖα.

9. συσκευάζεσθαι τὸ εὐτρεπίζεσθαι. Ξενοφῶν· καὶ συσκευάζεσθαι σῖτα ἡμερῶν εἴκοσι.

10. συνέφηβος γράφει Αἰσχίνης· τυγχάνει γὰρ ἡλικιώτης ὢν ἐμὸς καὶ συνέφηβος.

11. συμφορὰ ὡς ἐπὶ τὸ πλεῖστον λέγεται ἡ βλάβη, σπανίως καὶ ἡ ἡδονή. Σοφοκλῆς· οὐδ' ἡσθήσεται τῇ συμφορᾷ.

12. σκοπιὰ ὁ ὑψηλὸς τόπος καὶ σκοπὴ ἀττικῶς. Λουκιανός· καὶ ἐξευρήσω τὴν ἱκανὴν σκοπήν.

13. συνάρασθαι ἀττικῶς συντάσσεται αἰτιατικῇ. Δημοσθένης· δεῖ τοίνυν ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου καιρὸν ἡμέτερον νομίσαντας συνάρασθαι τὰ πράγματα.

14. σκυζᾶν λέγεται ἐπὶ κυνῶν, ὅτε καθεύδοντες ὑποφωνοῦσι.

15. συμβαλεῖν ἀντὶ τοῦ ἁρμόσαι, καὶ ἀντὶ τοῦ νοῆσαι, καὶ ἀντὶ τοῦ μαχίμως συμπλακῆναι. Ἡρόδοτος· συμβαλὼν ἐν Μαγδάλῳ.

16. συμβάλλειν ἀντὶ τοῦ συναντᾶν καὶ ἀντὶ τοῦ μίγνυσθαι.

---

1. 2. uberiora tradit Suidas v. συσσημαίνεσθαι. Λυκοῦργος] ἐν τῷ περὶ ἱερείας teste Suida. 3. 4. cf. Suidas v. συσκευάζεσθαι. 3. εὐτρεπίζεσθαι] ἐπιφέρεσθαι Suid. Ξενοφῶν] Xenoph. Cyri inst. VI, 2, 26: συσκευάζεσθαι οὖν χρὴ σῖτον μὲν ἱκανόν. cum hoc lexicographo fere consentit Suidas, qui tamen καὶ particulam ignorat. 5. Αἰσχίνης] Aeschines 1, 49. τυγχάνει γὰρ] τυγχάνει μὲν γὰρ Aeschin. 7. ὡσεπιτοπλεῖστον cod. 8. Σοφοκλῆς] Soph. Oed. R. 453 sq. συμφορᾷ] ξυμφορᾷ Soph. libri. 9. Λουκιανός] Lucianus Char. c. 3 vol. 1 p. 498. 10. ἰκανὴν cod., ἱκανὴν ed. pr. 11. Δημοσθένης] Dem. 1, 24. 12. ἡμᾶς] ita aliquot Dem. libri, plerique ὑμᾶς. 13. ἡμέτερον] ὑμέτερον Dem. 14. cf. Pollux V, 86: σκυζᾶν δὲ τὸ καθεύδοντας ὑποφθέγγεσθαι. καθεύοντες cod., καθεύδοντες ed. pr. 16. Ἡρόδοτος] Herodot. II, 159, 2. 16. 17. Μαγδάλῳ] Μαγδώλῳ vel Μαγδόλῳ alii libri Herodotei.

17. σχόντες ἀντὶ τοῦ λαβόντες. καὶ σχόντες ἀντὶ τοῦ ἐλλιμενίσαντες. Θουκυδίδης· σχόντες δ' ἐν τῷ παράπλῳ ἐς Κεφαληνίαν καὶ ἀπόβασιν ποιησάμενοι.

18. σκύλαξ ὁ τελείας ἡλικίας κύων, καὶ ὁ νεογνός. ὁ μέγας Βασίλειος· οὔπω οἱ ὀδόντες τῷ σκύλακι, καὶ ὅμως διὰ τοῦ στόματος ἀμύνεται τὸν λυπήσαντα.

19. στασιώτης ὁ στάσιν ἐγείρων. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως· περὶ τοίνυν ὧν Ἀπόλεξις κατηγόρηκεν, ὡς στασιώτης ἦν ἐγὼ καὶ ὁ πάππος ὁ ἐμός.

20. σαλπίζω ἀμετάβατον· διασαλπίζω δὲ τὰ πεπραγμένα ἀντὶ τοῦ διαφημίζω, μεταβατικόν.

21. σχολὴ ἡ εἴς τι πρᾶγμα ἐπιμονή. Συνέσιος· ὁ γὰρ ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ. κατὰ τοῦτο λέγονται καὶ σχολασταὶ οἱ διδάσκαλοι. καὶ σχολὴ ἡ ἀπό τινος πράγματος ἄνεσις. Συνέσιος· σὺ δ' εἰ μὲν ἄγεις σχολὴν ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου.

22. συλλαβὼν ἀντὶ τοῦ ἐγκυμονήσας. καὶ συλλαβὼν ἀντὶ τοῦ συνάξας. Σοφοκλῆς· τὰ δ' οὖν παρόντα συλλαβὼν θεσπίσματα κεῖται παρ' Ἅιδῃ Πόλυβος. καὶ Ἑρμογένης· παῖδας τρεῖς ὡς

1—3. cf. Thom. M. p. 107, 13. 2. Θουκυδίδης] Thuc. II, 33, 3. 2. 3. Κεφαληνίαν] Κεφαλληνίαν plerique Thuc. libri. 4. ὁ μέγας Βασίλειος] Basil. M. Homil. IX in Hexaem. vol. 1 p. 84 C. 7—9. ex Harpocr. p. 169, 7. cf. Phot. Lex. p. 535, 7 et Suid. v. στασιώτης. 7. ὁ στάσιν ἐγείρων] ignorat hanc interpretationem Harp. 8. Ἀπόλεξις] sic Harp. libri plerique, Ἀπόληξις epit. 12. Συνέσιος] Synesius Epist. 11 p. 173 A. 13. 14. σχολασταὶ οἱ διδάσκαλοι] falsa videtur haec interpretatio. 15. Συνέσιος] Synesius Epist. 25 p. 175 D. σύ δ' cod., σὺ δ' ed. pr. εἰ μὲν ἄγεις] εἰ μὲν ὁμοίως ἔχων οὐκ ἄγεις Synes. 18. Σοφοκλῆς] Soph. Oed. R. 971 sq. τὰ οὖν ed. pr., τὰ δ' οὖν cum Sophocle consentiens cod., in quo δ ex γ factum est. 19. Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 30, 22.

προδιδόντας συνέλαβε. καὶ συλλαβὼν ἀντὶ τοῦ νοήσας. Ἡρόδοτος· οὐ συλλαβὼν δὲ τὸ ῥηθὲν οὐδ' ἐπανειρόμενος.

23. σκεύη λέγεται τὰ ἐφόδια. Ἀριστοφάνης· ὁ παῖς ἀκολούθει δεῦρο τὰ σκεύη φέρων. καὶ σκευοφόρος ὁ τὰ σκεύη φέρων. Λιβάνιος· εἰς τοὺς σκευοφόρους καὶ τελοῦντας εἰς δῆμον καὶ φρονήματος ἐστερημένους, εἰς τούτους ἀσελγαίνειν ἐχρῆν.

24. συμφέρεται ἀντὶ τοῦ ὁμιλεῖ. καὶ συμφέρεται ἀντὶ τοῦ ᾄδεται. Ἡρόδοτος· τοιοῦτον συμφέρεται πρῆγμα γίγνεσθαι.

25. συμβόλαιον τὸ συμβιβαστικὸν γράμμα. Λιβάνιος· οὐδ' ἔχει τις καθ' ἡμῶν συμβόλαιον οὐδέν. καὶ συμβόλαιον τὸ ἁπλῶς σημεῖόν τινος καὶ γνώρισμα. Ἱμέριος· οὐ κρώβυλος χρυσοῦς ὑπὲρ κεφαλῆς ἀνακείμενος τῶν Κεκροπιδῶν τὸ συμβόλαιον.

26. σταφυλοβολεῖον τὸ καλούμενον πατητήριον, ὡς Ἀνδροτίων ἐν τῷ γεωργικῷ.

27. συλλαμβάνει λέγεται καὶ ἀντὶ τοῦ συγκροτεῖ, ὅπερ καὶ δοτικῇ συντάσσεται. Ἑρμογένης· συλλαμβάνει δ' οὖν τι σμικρὸν τῷ χρωμένῳ.

---

1. Ἡρόδοτος] Herodot. I, 91, 3. 2. συλλαβώνδε cod., συλλαβὼν δὲ ed. pr. ἐπανηρόμενος cod., ἐπανειρόμενος Herod. 3. Ἀριστοφάνης] Ar. Ran. 521. 4. verba καὶ σκευοφόρος ὁ τὰ σκεύη φέρων om. ed. pr. 5. Λιβάνιος] Libanius Decl. vol. 4 p. 49, 10. 8. Ἡρόδοτος] Herodotus VIII, 104, 2: ἐν δὲ τοῖσι Πηδάσοισι τούτοισι τοιόνδε φέρεται (al. συμφέρεται) πρῆγμα γίνεσθαι. interpretatio ᾄδεται lectioni φέρεται originem videtur debere. 9. Λιβάνιος] Libanius Decl. vol. 4 p. 662, 21. 10. ἔχει τίς cod., ἔχει τις ed. pr. 11. σημεῖον τινὸς cod., σημεῖόν τινος ed. pr. Ἱμέριος] Himerius Orat. VIII, 4. κρώβυλος] in codice supra hoc nomen versibus interpositum legitur πλόκαμος. 12. τοι ed. pr., τὸ cod. et Him. συμβόλαιον] σύμβολον recte Him. 13. 14. compendi facta verba Harpocr. p. 169, 13. Ἀνδρωτεῖον ed. pr., Ἀνδροτεῖον cod., Ἀνδροτίων ἢ Φίλιππος Harp. 16. Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 18, 16.

28. συμμορία ὁ συνασπισμός. Συνέσιος· ἡμεῖς δὲ συμμορίαν ἀδελφῶν αὐτῷ παρεσχόμεθα.

29. σωφρονεῖν ἐπὶ πάσης ἀρετῆς, εἴπερ ἐναντίον ἐστὶ τῷ μαίνεσθαι. τὸ δὲ μαίνεσθαι ἐπὶ τῶν ἀμέτρως χρημάτων ἐρώντων καὶ ἐπὶ τῶν φιλοδόξων καὶ φιληδόνων.

30. σχῆμα τρίγωνον ἢ τετράγωνον ἢ ἄλλο τοιοῦτον. καὶ σχῆμα ἡ πρόφασις. Ἀριστείδης· τότε καὶ τοῖς Ἀθηναίοις καὶ πρός γ' ἔτι Θηβαίοις ἦν τι σχῆμα τῶν πρὸς ἀλλήλους πραγμάτων. καὶ σχῆμα τὸ εἶδος. ὁ αὐτός· καὶ μὴν εἰ μὲν ἔχοντας τὸ τῶν ὑπηκόων σχῆμα. καὶ σχῆμα ἡ θέσις. Εὐριπίδης· ὦ σχήματ' οἴκων.

31. σφάλλει ἀμεταβάτως, καὶ σφάλλει ἕτερος ἕτερον. Θεολόγος· σφάλλει τοὺς συνετούς, περιτρέπει τοὺς ἰσχυρούς.

32. σεμνύνω ἕτερον καὶ σεμνῶ. Λιβάνιος· ὁ δὲ σεμνώσας τὸ πρόσωπον, τὰ πάντων, ἔφη, μέγιστα πάτερ κτησόμεθα.

33. σπείδω ἐνεργητικῶς τὸ χέω. Ἱμέριος· πόσας δέ σοι πηγὰς δακρύων οὐκ ἔσπεισα. παθητικῶς δὲ τὸ φιλιοῦμαι.

34. σοφιστὴς ὁ ῥήτωρ, ὁ παραλογιστὴς καὶ ὁ ἐριστικός. σό-

---

1. Συνέσιος] Synesius Epist. 53 p. 190 A. ἡμεῖς δε cod., ἡμεῖς δὲ ed. pr. 1. 2. συμμορίαν ἀδελφῶν αὐτῷ] αὐτῷ συμμορίαν ἀδελφῶν Synes. 3. ἐστι sine accentu cod. 7. Ἀριστείδης] hoc nomen primum omissum in margine supplevit librarius. vide Aristid. vol. 1 p. 788. 8. γέ τι cod., γ' ἔτι ex Aristide scripsi. ἦν τι σχῆμα] quod in ed. pr. annotatur, ο supra ι legi in codice, falsum est: codex ἦν τϊ σχῆμα habet. 9. ὁ αὐτός] Aristides vol. 1 p. 289. 10. Εὐριπίδης] Eur. Hec. 619. σχήμτ' cod., σχήματ' ed. pr. 11. Θεολόγος] Greg. Naz. Orat. I p. 42 D. 13. Λιβάνιος] Libanius Decl. vol. 4 p. 628, 26. 14. πᾶτερ cod., πάτερ ed. pr., ὦ πάτερ Liban. κτησόμεθα] sic e B ed. Reiskius, κτησόμενος M. 15. σπείδω] σπένδω potius dicendum erat, ut supra Σ, 3 legitur: utrum lexicographi sit error an librarii, haud facile dixeris, cf. Thes. Gr. L vol. 7 p. 575 D. post χέω in codice σπεί scriptum, sed statim deletum est.

φισμα ἡ σοφία. Ἀριστοφάνης· τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα. καὶ σόφισμα ἡ ἀπάτη.

35. σκοπὸς ἡ ἔννοια, ὁ πρωτοφανὴς καρπός, τὸ σημεῖον ὃ βάλλουσιν οἱ τοξεύοντες, καὶ ὁ φύλαξ.

36. σαλεύω μεταβατικῶς. Θεολόγος· οὐδὲ ἀπὸ οἴνου τοῦ πρὸς ὀλίγον σαλεύοντος. καὶ σαλεύω ἀμεταβάτως. λέγεται δὲ ἡ λέξις κυρίως ἐπὶ τῶν μετεωριζομένων ἐν ὕδασιν. Ἱμέριος· Δῆλον μὲν δὴ λόγος τὴν νῆσον ταύτην τὴν γείτονα, πρὶν μὲν ἀνθρώποις φανῆναι τὸν θεὸν τὸν Ἀπόλλωνα, ὡς ὑπὸ πελάγει κρύπτεσθαι φερομένην τε καὶ σαλεύουσαν. καὶ Χρυσόστομος· μαινομένην τὴν φύσιν καταστέλλουσα καὶ οὐκ ἀφιεῖσα πελάγιον σαλεύειν.

37. συνέδριον καὶ ἐπὶ συνελεύσει θείων ἀνδρῶν λέγεται .....

38. ....

τοὺς Ἀττικοὺς ὑποστατικῶν προσώπων. Συνέσιος· συχνοὶ παρ' ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς πλαττόμενοί τινας ὀνείρους.

39. σοφίζω ἀντὶ τοῦ σοφὸν ποιῶ. καὶ σοφίζομαι ὑπό τινος ἀντὶ τοῦ σοφὸς γίνομαι. καὶ σοφίζομαι τὸ παραλογίζομαι, καὶ τὸ σοφῶς λέγω, καὶ τὸ μηχανῶμαι, καὶ τὸ ἐφευρίσκω.

---

1. Ἀριστοφάνης] Ar. Plut. 160. 3. ὁ πρωτοφανὴς καρπός] quid hoc loco sibi velint ista verba nescio. 5. Θεολόγος] Greg. Naz. Orat. XV p. 230 D. 6. πρὸς ὀλίγον] πρὸς ὀλίγου male Greg. Naz. ed. Col. 7. Ἱμέριος] Himerius Orat. IV, 2. Δῆλον] δῆλον ed. pr. 9. ὡς] ὕφαλον τέως Himer., ubi ὕφαλόν τε ὡς codex Rom. 10. τὲ cod., τε ed. pr. Χρυσόστομος] Ioh. Chrys. Homil. XXI in Genes. c. 4 vol. 4 p. 187 A. 12. post λέγεται lacunam indicavit ed. pr. addita hac annotatione: «finis folii 229; deinde folium excidisse videtur». probabilius arbitror complura deesse folia. 14. τοὺς Ἀττικοὺς ὑποστατικῶν προσώπων] haec fere expectes: συχνὸς λέγεται κατὰ τοὺς Ἀττικοὺς καὶ ἐπὶ ὑποστατικῶν προσώπων. Συνέσιος] Synesius Epist. 54 p. 190 B, qui locus iam supra Σ, 6 allatus est. 15. πλαττόμενοι τινὰς cod., πλαττόμενοί τινας ed. pr. 16. ὑπὸ τινὸς ed. pr., ὑπό τινος cod.

40. συνορᾶν ἀντὶ τοῦ κατανοεῖν, καὶ συνιδεῖν ἀντὶ τοῦ κατανοῆσαι. ὁρᾶν δὲ ἀντὶ τοῦ βλέπειν, καὶ ἰδεῖν ἀντὶ τοῦ θεάσασθαι.

41. σωφρονῶ ἀμεταβάτως· σωφρονίζω δὲ μεταβατικῶς. θεολόγος· μὴ πλήξωμεν ἀθρόως, οὐ γὰρ ἀσφαλές, ἀλλ' ἀφόβως σωφρονίσαντες τῇ φιλανθρωπίᾳ νικήσωμεν.

42. σιτίζω ἕτερον, σιτοῦμαι δὲ ἐγώ. Λιβάνιος· τὰς Διομήδους οὐκ ἀκούομεν ἀντὶ τῆς νομιζομένης τροφῆς ἀνθρώπων σιτεῖσθαι σώμασι;

43. συμβάλλομαι ἀντὶ τοῦ συντελῶ. Ἑρμογένης· συμβάλλεται μέν τι σμικρὸν τῷ χρωμένῳ. καὶ συμβάλλομαι ἀντὶ τοῦ νοῶ. Ἡρόδοτος· καὶ ὡς ἐγὼ συμβάλλομαι, τοῖσιν ἐμφανέσι τὰ μὴ γινωσκόμενα τεκμαιρόμενος.

44. σφαγεὺς ἐπὶ ἀνθρώπου, καὶ ἐπὶ ξίφους. Σοφοκλῆς· ὁ μὲν σφαγεὺς ἕστηκεν.

---

5. θεολόγος] Greg. Naz. Epist. 111 p. 841 A. μὴ πλήξωμεν] μὴ τοίνυν μηδὲ αὐτοὶ πλήξωμεν Greg. Naz. ἀλλ' ἀφόβως] ἀλλὰ τῷ φόβῳ Greg. Naz., ubi ἀλλὰ φόβῳ malim. 6. σωφρονίσαντες] σωφρονήσαντες male Greg. Naz. ed. Col. φιλονεικίᾳ ed. pr. et primum cod., φιλανθρωπίᾳ corrector codicis et Gregorius Naz. 7. Λιβάνιος] Libanius Decl. vol. 4 p. 157, 18. 7. 8. τὰς Διομήδους] τὰς Διομήδους ἐκτὸς Liban. ed., ubi τοῦ Θρᾳκὸς pro ἐκτὸς suasit Reiskius. 8. ἀνθρώπων] ἀνθρωπίνοις Liban. 10. Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 18, 16. 10. 11. συμβάλλεται μέν τι] συλλαμβάνει δ' οὖν τι Hermog. atque ipse lexicographus supra Σ, 27 p. 167, 16. 12. Ἡρόδοτος] Herodotus II, 33, 2. 14. Σοφοκλῆς] Soph. Ai. 815. 15. ἕστηκεν cod., ubi ν postea additum est, ἕστηκε ed. pr.

Τ.

1. τρίβος ἡ φανερὰ ὁδὸς ἤγουν ἡ λεωφόρος. καὶ ἐντριβὴς τὸ αὐτό. Μάξιμος· οἱ οἰκεῖοι τὸν κάμνοντα εἰς τῶν ἀγυιῶν τὴν ἐντριβῆ κατετίθεντο.

2. τὸ ἀνέκαθεν. Κύπριος· νησιώτας τὸ ἀνέκαθεν ὄντας.

3. τρύζειν ἐπὶ τρυγόνων λέγεται· ἐπὶ δὲ περιστερᾶς γογγύζειν.

4. τετύφωμαι ἀντὶ τοῦ ἔξω τῶν φρενῶν γέγονα, ἢ ἀπὸ μεταφορᾶς τῆς βροντῆς ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα καταφερομένων σκηπτῶν.

5. τερετίζειν καὶ τεττίζειν ἐπὶ τεττίγων.

6. τέλη τὰ πληρώματα ἤγουν αἱ λήξεις. καὶ τέλη τὰ μέρη. Θουκυδίδης· οἱ δὲ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι τρία τέλη ποιήσαντες τῶν αὐτῶν ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν. καὶ τέλη οἱ φόροι. καὶ τέλη ἐπὶ ἀνθρώπων οἱ ὑπερφερεῖς καὶ ἐκλελεγμένοι.

---

1. ἤτοι ed. pr., ἤγουν codex praebet compendio scriptum eo de quo Bastius Comm. palaeogr. p. 787 sq. disputavit. ἡ om. ed. pr. **2.** Μάξιμος] Maximus Tyr. XII, 2 vol. 1 p. 212. τὴν ἐντριβῆ] τὴν ἐντριβῆ Max. Tyr. ed., ubi τὴν μάλιστα ἐν τριβῇ coniecit Marklandus. **4.** τοανέκαθεν utroque loco cod., τὸ ἀνέκαθεν ed. pr. **5. 6.** cf. Pollucis V, 89. **5.** τρύζειν ἐπὶ τρυγόνων λέγεται] ita praeter alios Herodianus qui dicitur in Bekkeri Anecd. p. 1452: τρυγόζειν δὲ ἐπὶ τρυγόνων. ubi τρύζειν legendum esse indicavi Philol. vol. 4 p. 201. **7—9.** ex Harpocr. p. 175, 16. ubi auctor affertur Δημοσθένης ὑπὲρ Κτησιφῶντος (Dem. 18, 11). cf. Phot. Lex. p. 582, 6 et Suid. v. τετύφωμαι. **7. 8.** μεταφορᾶς om. Harp. **8.** καταφερομένων] ἀναφερομένων recte Bekker. **10.** τερεττίζειν cod., τερετίζειν ed. pr. τεττίζειν] τιτίζειν aut τρίζειν scribendum suspicor. **11.** ἤτοι ed. pr., ἤγουν cod. vide quae ad T, 1 diximus. **12.** Θουκυδίδης] Thuc. II, 81, 2. **13.** τῶν αὐτῶν] σφῶν αὐτῶν Thuc.

Μάξιμος· ἀλλὰ τῶν Λακεδαιμονίων τὰ τέλη ἀνακαλεσάμενοι τὸν ἄνδρα, ἐκέλευον αὐτῷ ἐξιέναι τῆς Σπάρτης αὐτίκα. καὶ τέλη αἱ πράξεις. **ὁ αὐτός**· τί γὰρ ἂν εἴη τέλος χαριέστερον δήμου εὐθυμουμένου καὶ δαιτυμόνων οἴκοι ᾠδῆς ἀκροωμένων; καὶ τέλη αἱ δαπάναι, ὅθεν καὶ πολυτελὴς τράπεζα.

7. **τελεῖν** τὸ λαμβάνειν φόρους καὶ τὸ διδόναι, καὶ τὸ πράττειν, καὶ τὸ ἑορτάζειν, καὶ τὸ καταλέγεσθαι καὶ συναριθμεῖσθαι.

8. **τὸ γοῦν ἐφ' ἡμῖν** ἀντὶ τοῦ κατὰ τὴν ἡμετέραν δύναμιν ἢ προαίρεσιν.

9. **τότε** ἀντὶ τοῦ εἶτα. **Χρυσόστομος**· σὺ πρῶτος ἀπολαύεις τῶν ἀγαθῶν, ἐὰν υἱὸν ἔχῃς καλόν, τότε καὶ ὁ θεός.

10. **τέως** ἀντὶ τοῦ ἀληθῶς καὶ ὁμολογουμένως. **Χρυσόστομος**· καὶ ἔπλασε, φησίν, ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς· τέως οὐ μικρὰ ἡμῖν ἐντεῦθεν τίκτεται, ἐὰν νήφειν βουλώμεθα, ταπεινοφροσύνης διδασκαλία. καὶ τέως ἀντὶ τοῦ κατὰ τὸ παρόν. **Ἀριστοφάνης**· τέως μὲν οὖν ἐκρινόμεθα. καὶ τέως ἀντὶ τοῦ λοιπόν· τί μὴ τέως αἱρῇ τῶν φαινομένων τὸ ἄριστον; καὶ τέως ἀντὶ τοῦ μέχρι τοῦ νῦν. **Συνέσιος**· τέως μὲν ἐπράττομεν εὖ. καὶ τέως ἀντὶ τοῦ ὅμως. **Συνέσιος**· τέως δὲ ὥσπερ εἴ τί μοι τῶν ἡδέων συνεπεπτώκει, ἐκοινωσάμην ἄν σοι τῇ πάντων φιλτάτῃ μοι κεφαλῇ, οὕτω καὶ τῶν δυσχερῶν εἰς σὲ παραπέμπω τὴν ἀκοήν. καὶ τέως

---

1. Μάξιμος] Maximus Tyr. XXIII, 1 vol. 1 p. 439. **3.** ὁ αὐτός] Maximus Tyr. XXVIII, 1 vol. 2 p. 53. τί γὰρ ἂν εἴη] τί γὰρ εἴη Max. Tyr. libri, τί γὰρ ἂν εἴη coniecerat Marklandus. τέλος χαριέστερον] χαριέστερον τέλος Max. Tyr. **5.** πολυτελὴς τράπεζα] respici videtur idem Maximus Tyr. XXVIII, 2 vol. 2 p. 54: συνήθης πολυτελεῖ τραπέζῃ. **12.** Χρυσόστομος] Ioh. Chrys. Homil. XII in Genes. c. 2 vol. 4 p. 96 D. **14.** βουλόμεθα cod. **15.** διδασκαλίαν cod., διδασκαλία Ioh. Chrys. **16.** Ἀριστοφάνης] Ar. Nub. 66. **17.** τί μὴ τέως — τὸ ἄριστον] locus Synesii Epist. 103 p. 242 C. **18.** Συνέσιος] Synesius Epist. 88 p. 230 C. **19.** Συνέσιος] Synesius Epist. 95 p. 236 A. B. εἴ τι μοι cod., εἴ τί μοι ed. pr.

ἀντὶ τοῦ τάχα. Χρυσόστομος· τῆς παρ' αὐτοῦ ἐπιμελείας ἐδεῖτο ὁ παράδεισος, οὐ τοῦτο λέγω, ἀλλ' ἠβουλήϑη τέως μικράν τινα καὶ αὐτὸν ἔχειν μέριμναν.

11. τριβωνευόμενοι. Ἀντιφῶν ἐν τῷ περὶ Λινδίων φόρου. ἤτοι ἀντὶ τοῦ τριβὰς ἐμποιοῦντες, ἢ ἀντὶ τοῦ τεχνάζοντες, ἢ ἀντὶ τοῦ τρίβωνες εἶναι πραγμάτων.

12. τήβεννον ἀρσενικὸν Πλούταρχος· καὶ τήβεννον ἐφόρει περιπόρφυρον.

13. τὸ λοιπὸν ἀντὶ τοῦ διὰ τοῦτο. Ἰώσηπος· σκίδνανται δὴ τὸ λοιπὸν ἐντεῦϑεν ὑπὸ τῆς ἀλλογλωσσίας.

14. τετριγέναι ἐπὶ νυκτερίδων λέγεται.

15. τριηράρχημα τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα. ἐπιτριηράρχημα δὲ τὸ ἀνευρισκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον. Δημοσϑένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος.

16. ταύτῃ ἀντὶ τοῦ διὰ τοῦτο. καὶ ταύτῃ ἀντὶ τοῦ ἐκεῖσε. Συνέσιος· ἀλλὰ καὶ μὴ λέγοντος Πλάτωνος ἀνάγκη κωφὸν εἶναι

---

1. Χρυσόστομος] Ioh. Chrys. Homil. XIV in Genes. c. 2 vol. 4 p. 108 E. 2. μικράν τινα καὶ] σύμμετρόν addit Ioh. Chrys. 4—6. locus repetitus ex Harpocr. p. 177, 20. unde pendent Phot. Lex. p. 600, 18 et Suid. v. τριβωνευόμενοι. 4. πέρὶ] περὶ τοῦ Harp. 5. 6. ἢ ἀντὶ τοῦ τρίβωνες] ἀντὶ τοῦ τρίβωνες Harp., ubi ἀπὸ τοῦ τρίβωνες e codice N scribitur. 7. τήβεννον ἀρσενικόν] errare videtur lexicographus; certe Plutarchus τὴν τήβεννον dixit, non τὸν τήβεννον. Πλούταρχος] Plut. Rom. c. 26. 8. περιπόφυρον ed. pr. typothetae errore. 9. τολοιπὸν cod., τὸ λοιπὸν ed. pr. διατοῦτο cod., διὰ τοῦτο ed. pr. Ἰώσηπος] Iosephus Ant. I, 5 vol. 1 p. 23, 15. 10. τολοιπὸν cod., τὸ λοιπὸν ed. pr. 12—14. ex Harpocr. p. 177, 26. cuius vestigia legunt Photius Lex. p. 601, 11 et Suidas v. τριηράρχημα. 13. ἀνευρισκόμενον] recte ἀναλισκόμενον Harp. 14. Δημοσϑένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος] haec verba ante ἐπιτριηράρχημα collocat Harp. respicitur Dem. 50, 44: οὔτε γὰρ τῷ τριηραρχήματι οὔτε τοῖς ἐπιβάταις καὶ τῇ ὑπηρεσίᾳ χρήσοιτο. 15. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 16. Συνέσιος] Synesius Calvit. encom. c. 5 p. 67 D.

τὸν ταύτῃ λάσιον ὅθεν ἀκούομεν, ὥσπερ καὶ τυφλὸν τὸν ταύτῃ λάσιον ὅθεν ὁρῶμεν.

17. τοῦ λοιποῦ ἀντὶ τοῦ εἰς τὸ ἑξῆς. Λιβάνιος· ἐκεῖνός σοι τοῦ λοιποῦ πατήρ.

18. τοιαυτὶ ἀντὶ τοῦ τοιαῦτα. Μάξιμος· τοιαυτὶ λέγοντες ἕξιν τινὰ θεωρίας τῇ ψυχῇ προστίθενται.

19. ταλαιπωρῶ ἐνεργητικῶς καὶ ταλαιπωροῦμαι.

20. τελευτήσας ἀντὶ τοῦ καταντήσας. Μάξιμος· καταβὰς διὰ τῆς βασιλέως γῆς καὶ τελευτήσας ἐκεῖ.

21. ταχύνω ἀμετάβατον· ἐπιταχύνω δὲ τὸ ἔργον μεταβατικῶς.

22. τρίτην ἡμέραν λέγουσιν οἱ Ἀττικοί, οὐχὶ τρίτης ἡμέρας οὐδὲ τρίτῃ ἡμέρᾳ. Ξενοφῶν· χθὲς καὶ τρίτην ἡμέραν. καὶ τρίτον ἔτος, οὐχὶ τρίτῳ ἔτει. ἐνίοτε δὲ προστίθεται καὶ τὸ τοῦτο καὶ τουτί, ἐπειδὰν ἀπὸ τοῦ παρόντος χρόνου λογίζωνται καὶ μὴ ἀπό τινος παρῳχηκότος. Δημοσθένης· τρίτον ἔτος τουτί. ἄνευ δὲ τῆς προσθέσεως τῆς τοῦτο καὶ τουτὶ κοινὸν καὶ τοῦ παρεληλυθότος χρόνου ἐστί.

23. τελευτῶ ἀντὶ τοῦ τέλος λαμβάνω ἀμετάβατον. καὶ τελευτῶ τὸ ἔργον ἀντὶ τοῦ τελειῶ μεταβατικῶς.

24. τιμωρῶ ἐνεργητικῶς τὸ ἐκδικῶ καὶ βοηθῶ. Ἡρόδοτος·

---

1. ὥσπερ καὶ τυφλὸν] ὥσπερ τυφλὸν Synes. 3. τοῦ λοιποῦ] sic ed. pr. et primum cod., ubi τουλοιποῦ correctum. τοεξῆς cod., τὸ ἑξῆς ed. pr. Λιβάνιος] Libanius Decl. vol. 4 p. 668, 20. ἐκεῖνος σοὶ pr. cod., ubi pronominis accentus deletus est, ἐκεῖνός σοι ed. pr. 4. του λοιποῦ cod., τοῦ λοιποῦ ed. pr. 5. τοιαυτὶ] τοταυτη primum cod., ut videtur. Μάξιμος] Maximus Tyr. XII, 1 vol. 1 p. 211. 6. ἔξιν cod., ἕξιν ed. pr. προστίθενται] προστίθεμεν Max. Tyr. 7. post ταλαιπωροῦμαι haud scio an παθητικῶς exciderit. 8. Μάξιμος] Maximus Tyr. XIII, 4 vol. 1 p. 236. 12. Ξενοφῶν] Xen. Cyri inst. VI, 3, 11. χθὲς καὶ] ἐχθὲς δὲ καὶ Xenophontis libri plerique, χθὲς καὶ Zon. Lex. p. 1745. 13. ἐνιότε ed. pr., ἐνίοτε cod. 15. Δημοσθένης] Dem. 21, 13. ἄνευ δὲ] ἄνευ δὲ pr. cod. 20. Ἡρόδοτος] Herodotus VII, 157, 5.

βοηθέων γὰρ ἡμῖν σεωυτῷ τιμωρέεις. καὶ τιμωρῶ ἀντὶ τοῦ ἀνταμύνομαι. Εὐριπίδης· Παλαμήδου σε τιμωρεῖ φόνος. τιμωροῦμαι δὲ παθητικῶς ἀντὶ τοῦ ἀνταμύνομαι καὶ κολάζω ἀεί ποτε.

25. τιμωρία ἡ κόλασις, καὶ ἡ ἐκδίκησις. Θουκυδίδης· γνόντες δὲ οἱ Ἐπιδάμνιοι οὐδεμίαν σφίσιν ἀπὸ Κερκύρας τιμωρίαν οὖσαν ἐν ἀπόρῳ εἶχον τίθεσθαι τὸ παρόν.

26. τοξεύω τὸ ἁπλῶς βέλη πέμπω. τοξεύω δὲ σὺν προθέσει ἐπὶ σκοπὸν ἢ κατὰ τοῦ δεῖνος.

27. τροπωτὴρ γράφεται. Θουκυδίδης· τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ τὸν τροπωτῆρα.

28. τρέχω ἐπὶ δρόμου· τρέχω δὲ ἐπὶ τὸ βραβεῖον μεταβατικῶς, καὶ τρέχω τὸν περὶ ψυχῆς.

29. τὸ δὲ ἀπὸ τούτου ἀντὶ τοῦ μετὰ ταῦτα. Ἡρόδοτος· τὸ δὲ ἀπὸ τούτου Ἕλληνας δὴ μεγάλως αἰτίους γενέσθαι.

30. τὸ παράπαν γράφεται χωρὶς καὶ ἀρνητικοῦ μορίου. Ἡρόδοτος· ἀπηλλάσσετο ἐκ τῆς χώρας τὸ παράπαν.

31. τρέμω ἐπὶ τρόμου ἀμεταβάτως· τρέμω δὲ τὸν θάνατον ἀντὶ τοῦ φοβοῦμαι μεταβατικῶς.

32. τό γ' εἰς αὐτὸν ἀντὶ τοῦ κατὰ τὴν αὐτοῦ δύναμιν. Κύ-

---

2. Εὐριπίδης] Eur. Or. 433. Παλαμήδου] Παλαμήδους plerique Eur. libri. φόνος] φόνου alii. 4. Θουκυδίδης] Thuc. I, 25, 1. 6. εἶχον τίθεσθαι] εἴχοντο θέσθαι vel εἶχον τὸ θέσθαι Thuc. libri. 7. βέλλη cod., βέλη ed. pr. 8. σκοπὸν] σκοπῶν pr. cod. 9. Θουκυδίδης] Thuc. II, 93, 2. 11. ἐπὶ δρόμου] ἀμεταβάτως addendum suspicor. 12. τρέχω τὸν περὶ ψυχῆς] vide quae attulit Leutschius in Paroemiogr. Gr. ed. Gott. vol. 2 p. 686. 13. τοδεαποτούτου cod., in quo prius τὸ δὲ αποτούτου scriptum fuit. μεταταῦτα cod., μετὰ ταῦτα ed. pr. Ἡρόδοτος] Herodotus I, 4, 1. 14. τοδεαποτούτου cod. 15. τοπαράπαν cod. χωρὶς καὶ] καὶ χωρὶς scribendum. Ἡρόδοτος] Herodotus V, 51, 4: ἀπαλλάσσετο τὸ παράπαν ἐκ τῆς Σπάρτης. IV, 164, 2: οἱ μὲν τὸ παράπαν ἐκ τῆς χώρης ἀπαλλάσσοντο. 16. ἀπηλλάσσετο] ἀπηλάσσετο pr. cod. τοπαράπαν cod. 19. εἰς αὐτὸν — αὐτοῦ] εἰς αὑτὸν — αὑτοῦ malim.

πριος· τό γ' εἰς αὐτὸν οὐ φείσεται τῶν ὅσα δεινὰ καὶ πρᾶξαι καὶ λέξαι.

33. τυραννῶ καὶ τυραννεύω. Θουκυδίδης· οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης.

34. τραγῳδία ἡ ποίησις τῶν τραγικῶν, καὶ τὸ πάθος, καὶ ἡ συμφορά.

35. τεὸν ἐπὶ δευτέρου προσώπου, ἑὸν ἐπὶ τρίτου.

36. τοιοῦτος ἔχει ἀναφερόμενον τὸ οἷος· προτάττεται δὲ καὶ ἐπιτάττεται· πολλάκις δὲ ἔχει καὶ τὸ ὥστε. Συνέσιος· τὸν μὲν ὅτι τοιοῦτός ἐστιν ὥστ' εἰ μὴ πεποίηκεν, ἐποίησεν ἄν.

37. τυφλώττω ἀντὶ τοῦ ἀβλεπτῶ, καὶ γράφεται ἐπὶ ἐνεστῶτος.

38. τυπτήσω ἀττικῶς. Ἀριστοφάνης· οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε. καὶ Λιβάνιος· κἂν ὑβρίσῃ, τυπτήσει γε προϊών.

39. τυχεῖν ἀττικῶς αἰτιατικῇ. τὸ δ' αὖ δύνασθαι πρὸς θεῶν χρῄζω τυχεῖν.

40. ταῦτ' ἄρα ἀντὶ τοῦ διὰ τοῦτο. Ἀριστοφάνης· ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμα ἡ ψυχή μου πεπότηται.

41. τύπος ἡ τάξις, καὶ τὸ ἔθος. Ἱμέριος· διὸ τὰ μὲν πλείω ἐατέον, ἐκ πολλῶν δ' ὀλίγα λεκτέον, ἵνα κἀνταῦθα τὸν ἴσον τῷ λόγῳ

---

1. εἰς αὐτὸν malim. κοὐφείσεται ed. pr., κοὺ φείσεται cod., οὐ φείσεται scripsi ex alio codicis Vind. loco (fol. 164 a), ubi eadem Cyprii verba afferuntur. δεῖνα ed. pr., δεινὰ cod. 3. Θουκυδίδης] Thuc. I, 18, 1. 4. ἐπιπολὺ cod. 8. τέον ed. pr., τεὸν cod.
10. Συνέσιος] Synesius Epist. 50 p. 188 B. 11. τοιοῦτος ἐστὶν cod. ὥστε μὴ ed. pr., ὥστ' εἰ μὴ cod., ὥστ' εἰ καὶ μὴ Synes. ἐποίησεν ἄν] ἀλλ' ἐποίησεν ἄν Synes. 12. ἐνεστότος ed. pr., ἐνεστῶτος cod. 13. Ἀριστοφάνης] Ar. Plut. 21. 14. Λιβάνιος] Libanius Decl. vol. 4 p. 753, 13. 15. αἰτικῇ cod., αἰτιατικῇ ed. pr. 15. 16. τὸ δ' αὖ — τυχεῖν] versus Eur. Or. 687. 17. διατοῦτο cod., διὰ τοῦτο ed. pr. Ἀριστοφάνης] Ar. Nub. 319. 18. ἀκούσας ed. pr., ἀκούσασ' cod. et Aristoph. 19. ἔτος ed. pr., ἔθος cod.
20. ἴσον] sic cod., quam scripturam mutare non audeo.

τύπον φυλάξωμεν. καὶ τύπος τὸ σκίασμα. ϑεολόγος· τὸ γὰρ νομικὸν πάσχα, τολμῶ καὶ λέγω, τύπου τύπος ἦν ἀμυδρότερον.

42. Ταρσὸς πόλις, καὶ τὸ ἄκρον τοῦ πτεροῦ, καὶ τὸ πλατὺ τῆς κώπης.

43. τοῦ καὶ τινὸς λαμβάνεται καὶ ἐπὶ ϑηλυκοῦ. Σοφοκλῆς· καὶ τοῦ με χρείας τάδε λιπαρεῖς τυχεῖν;

44. ταῦτά τοι ἀντὶ τοῦ διὰ ταῦτα. Ἰουλιανός· ταῦτά τοι διαϑεόντων ἀνέχομαι τῶν ϑεῶν.

45. τοσαυτάκις. Ἰουλιανός· καὶ τίς ἀνέξεται τοσαυτάκις εἰς ἱερὰ φοιτῶντος Καίσαρος;

46. τάλαντον ἡ πλάστιγξ. Ἀριστοφάνης· καὶ ταλάντῳ μουσικὴ σταϑμηϑήσεται. καὶ τάλαντον τὸ νόμισμα. ϑεολόγος· ἐπεργασϑήτω τὸ τάλαντον, ἀλλὰ μὴ συγχωσϑήτω.

47. τάχος οὐχ ἵσταται ἀντὶ τοῦ διὰ τὸ τάχος. ϑεολόγος· καὶ ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης.

48. τάριχος καὶ ἐπὶ ἀρσενικοῦ. Ἡρόδοτος· οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντό τε καὶ ἔσπαιρον.

49. τὴν ἀρχὴν ἀντὶ τοῦ κατ' ἀρχάς. Κύπριος· ἀλλ' ἐῶ τὴν

---

1. ϑεολόγος] Greg. Naz. Orat. XLII p. 692 C. **2.** ἀμυδρότερον] ἀμυδρότερος Greg. Naz. **5.** Σοφοκλῆς] Soph. Oed. R. 1435. **6.** τάδε] ὧδε Soph. **7.** διαταῦτα cod., διὰ ταῦτα ed. pr. Ἰουλιανός] Iulianus Misop. p. 338 C. τοῦτά τοι ed. pr., ταῦτά τοι cod. **8.** τῶν ϑεῶν] τῶν φϑειρῶν Iulianus. **9.** Ἰουλιανός] Iulianus Misop. p. 346 C. **11.** Ἀριστοφάνης] Ar. Ran. 797. καὶ] καὶ γὰρ Ar. libri, ἀλλ' ἢ vel ἀλλ' ἢ Pollux IX, 52 et alii grammatici. **12.** σταϑμηϑήσεται] σταϑμήσεται Ar. libri, κριϑήσεται grammatici quidam. ϑεολόγος] Greg. Naz. Orat. XL p. 644 D. **14.** ϑεολόγος] Greg. Naz. Orat. XXXVIII p. 616 A sive Orat. XLII p. 678 A. **16.** Ἡρόδοτος] Herodotus IX, 120, 1. **17.** ἐπάλλωντό τε cod., ubi prius λ postea insertum est. ἔσπερον cod., ἤσπαιρον plerique libri Herodotei. **18.** τηναρχὴν ἀντὶ τοῦ καταρχὰς cod. **18—p. 178, 2.** ἀλλ' ἐῶ — βασιλεύς] eadem verba supra allata sunt O, 37 p. 135, 17.

γῆν, ἣν τοσοῦτον παρέχειν ἐφρόντισεν, ὅσον εἰ μηδὲ τὴν ἀρχὴν διδόναι προσέταττε βασιλεύς.

50. τρὺξ λέγεται ἡ τοῦ οἴνου ὑποστάθμη καὶ τρυγίας.

51. τοῦτο μὲν τοῦτο δὲ ἀντὶ τοῦ ἅμα μὲν ἅμα δέ. Συνέσιος· τὸ δὲ ἀπαγγεῖλαί σοι περὶ τοῦ υἱοῦ Διοσκουρίου, τοῦτο μὲν ὡς ὑγιαίνει, τοῦτο δὲ ὡς ἀναγινώσκει.

52. τηλύγετος λέγεται παρὰ ποιηταῖς ἢ ὁ μονογενὴς ἢ ὁ πρὸς τῷ γήρᾳ τῷ πατρὶ γεγονώς. νόθος ὁ ἐξ ἀλλοτρίας γυναικός, εἰσποιητὸς δὲ καὶ θετὸς ὁ μὴ γεννηθεὶς ἀλλ' ἀναληφθεὶς ἐπὶ χρήμασι.

53. τηθὶς ἡ θεία τοῦ πατρός.

54. ταχὺ ἀντὶ τοῦ ταχέως καὶ διὰ ταχέος καὶ ὅτι τάχιστα καὶ ὡς εἶχε τάχους καὶ ἐν τάχει. καὶ ὡς τὸ πολὺ καὶ ὡς τὸ ἐπὶ πολὺ καὶ ὡς τὸ ἐπίπαν καὶ ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἐκ τοῦ ἐπὶ πλεῖστον καὶ ἐπὶ τὸ πολὺ καὶ ὡς ἐπὶ τὰ πολλά, πάντα ἀντ' ἐπιρρήματος λαμβάνονται.

---

1. ἦν] ἢ p. 135, 17. εἰ postea scriba addidit. μὴ δὲ τηναρχὴν cod., μηδὲ τηναρχὴν ed. pr. 3. τοῦ οἴνου καὶ ὑποστάθμη cod., τοῦ οἴνου ὑποστάθμη scripsi. cf. Suid.: τρυγός· τῆς τοῦ οἴνου ὑποστάθμης. 4. Συνέσιος] Synesius Epist. 53 p. 190 A. 5. ἀπαγγεῖλαι σοι cod., ἀπαγγεῖλαί σοι ed. pr. Διοσκουρίδου ed. pr., Διοσκουρίου cod. et Synesius, ubi Διοσκορίου alii. 7. τηλίγετος cod., τηλύγετος ed. pr. 8. χεγονώς ed. pr. operarum errore. 9. εἰσποιητὸς] de accentu vide Lobeck. Paral. p. 496. ἀλλὰ ἐπιληφθεὶς ed. pr., ἀλλ' ἀναληφθεὶς cod. 11. τηθὺς cod., τηθὶς scripsi. 12. τάχυ ed. pr., ταχὺ cod. διαταχέος cod., διὰ ταχέος ed. pr. 13. post ἐν τάχει excidisse videtur novae glossae initium, fortasse τὸ πολύ vel τὰ πολλά. 13—15. καὶ ὡστοπολὺ (ὡστὸ πολὺ pr.) καὶ ὡστοεπιπολὺ καὶ ὡστοεπίπαν καὶ ὡσεπιτοπλεῖστον καὶ ἐκτουεπιπλεῖστον καὶ ἐπιτοπολὺ (primum ἐπιπολὺ, quae editionis pr. est scriptura) καὶ ὡσεπιταπολλὰ cod.

Υ.

1. ὑπὸ πρόθεσις καὶ ἐπὶ ἀγαθοῦ τίθεται. Λιβάνιος· ἡμεῖς, ὦ γενναιότατε, πολλὰ καλὰ παθόντες ὑπὸ σοῦ. κεῖται ἡ ὑπὸ πρόθεσις καὶ ἀντὶ τῆς εἰς. Θουκυδίδης· ἐλθόντες δὲ ὑπὸ Σπάρτολον τὸν σῖτον διέφθειραν.

2. ὑποστὰς ἀντὶ τοῦ δεξάμενος. ὁ δὲ ὑποστὰς τὴν μήνυσιν πρὸς τὴν ἐκείνου παρασκευάζεται ἐπιβουλήν. καὶ ὑποστὰς ἀντὶ τοῦ ὑπομείνας καὶ θαρρήσας. Ξενοφῶν· ὅστις ὑποστὰς ἐθελοντὴς πορεύεσθαι. καὶ ὑποστὰς ἀντὶ τοῦ ὑποσχεθείς. Ἡρόδοτος· ὦ Πέρσαι, τίς ἄν μοι τοῦτο ὑμῶν ὑποστὰς ἐπιτελέσειε σοφίῃ καὶ μὴ βίῃ.

3. ὕπαγε ἀντὶ τοῦ ἄπελθε. Ἀριστοφάνης· ὕπαγε θᾶττον. καὶ ὕπαγε τὸν βοῦν τῇ ζεύγλῃ.

4. ὑπιδέσθαι ἀντὶ τοῦ ὑποπτεῦσαι. Χρυσόστομος· οὔτε κίνδυνον ἔστιν ὑπιδέσθαι.

5. ὑπέστη ἀντὶ τοῦ ἐγένετο. Χρυσόστομος· τῷ λόγῳ αὐτοῦ καὶ τῷ προστάγματι τὰ πρότερον μὴ ὄντα εἰς τὸ εἶναι ὑπέστη. καὶ ὑπέστη ἀντὶ τοῦ ὑπέμεινε, καὶ ἀντὶ τοῦ ὑπεσχέθη. Κύπριος· ὑπέστης δοῦναι τὴν βίβλον. καὶ ἀντὶ τοῦ ἐκρύβη. Πλούταρχος· καὶ προσιοῦσιν αὐτοῖς μετὰ σπουδῆς ὀφθῆναι φοβηθεὶς ὑπέστη

---

1. 2. ὁ γενναιότατε ed. pr., ὦ γενναιότατε cod. 3. Θουκυδίδης] Thuc. II, 79, 2. Σπάρτολον] Σπάρτωλον τὴν Βοττικὴν Thuc.
5. 6. ὁ δὲ ὑποστὰς — ἐπιβουλήν] eundem nescio cuius scriptoris locum affert Suidas v. ὑποστάς. 7. Ξενοφῶν] Xen. Anab. IV, 1, 26. cuius verba in brevius contracta sunt. 8. Ἡρόδοτος] Herodotus III, 127, 3. 9. ὑμῶν] ὑμέων Herod. μηβίῃ cod., μὴ βίῃ ed. pr.
10. Ἀριστοφάνης] fortasse respicitur Ar. Nub. 1298: ὕπαγε· τί μέλλεις; οὐκ ἐλᾷς, ὦ σαμφόρα; 12. Χρυσόστομος] Ioh. Chrys. Homil. IX in Genes. c. 1 vol. 4 p. 65 E. 14. Χρυσόστομος] Ioh. Chrys. Homil. XII in Genes. c. 2 vol. 4 p. 93 C. 17. Πλούταρχος] Plut. Public. c. 4.

λάρνακα κειμένην πρὸ αὐτοῦ ποιησάμενος. καὶ ἀντὶ τοῦ ἐδουλώϑη, ὅπερ καὶ δοτικῇ συντάσσεται. Ἀριστείδης· καὶ κατηνάγκασαν ὥσπερ παῖδας ἄκοντας ὑποστῆναι τῇ ϑεραπείᾳ.

6. ὑποϑαλπόμενοι ἀντὶ τοῦ ἐξαπατώμενοι. Ἰώσηπος· τοὺς δὲ ὑποϑαλπομένους ἐλπίδι.

7. ὑπέϑηκε τὴν οὐσίαν ὁ δανειζόμενος· ὑπέϑετο δὲ ὁ δανείζων.

8. ὑπεκϑεῖναι ἐπὶ κρυφίᾳ ῥίψει παιδὸς λέγεται. Λιβάνιος· ἐπειδὴ καὶ ὁ φιλοπάτωρ οὗτος ἐγένετο παῖς, ὡς εἴϑε μήποτε, ὑπεκϑεῖναι τοῦτον εὐϑὺς ἐβουλόμην.

9. ὑπερέϑεντο ἀντὶ τοῦ ἐβουλεύσαντο. καὶ ὑπερέϑεντο ἀντὶ τοῦ ὑπέρϑεσιν ἐποιήσαντο.

10. ὑπάγει ἀντὶ τοῦ ἀπέρχεται, καὶ ἀντὶ τοῦ ἐγκαλεῖ, καὶ ἀντὶ τοῦ ἐξαπατᾷ. ὑπάγοντος αὐτὸν τοῦ κέρδους.

11. ὑπὸ τὸν καιρὸν ἐκεῖνον ἀντὶ τοῦ κατ' ἐκεῖνον τὸν καιρόν. Ἰώσηπος· ὑπὸ δὴ τοῦτον τὸν καιρὸν οἱ Σοδομῖται πλούτῳ καὶ μεγέϑει χρημάτων ὑπερφρονοῦντες.

12. ὑποκρίνεσϑαι παρὰ τοῖς παλαιοῖς ἀντὶ τοῦ ἀποκρίνεσϑαι, ἔνϑεν καὶ ὑποκριτὴς ὁ ἀπολογούμενος τῷ χορῷ.

---

1. πρὸ αὐτοῦ cod., πρὸ αὑτοῦ Plut. 2. συντάττεται ed. pr., συντάσσεται cod. Ἀριστείδης] Aristides vol. 1 p. 227. 4. 5. similiter Suidas v. ϑαλπόμενοι et Zon. Lex. p. 1024. 4. Ἰώσηπος] Iosephus Bell. Iud. IV, 3, 14 vol. 5 p. 310, 4. 5. ὑποϑαλπομένους] ϑαλπομένους Ios. 6. 7. consentit Zon. Lex. p. 1782, ubi testis additur Demosth. 28, 17. cf. Thom. Mag. p. 367, 12. 8. Λιβάνιος] Libanius Decl. vol. 4 p. 658, 24. 9. ἐπειδὴ] ἐπεὶ δὲ Liban. 10. ἐβουλόμην] ἠβουλόμην Liban. 11. ὑπερέϑεντο ἀντὶ τοῦ ἐβουλεύσαντο] cf. Suid. v. ὑπερέϑεντο. 14. ὑπάγοντος αὐτὸν τοῦ κέρδους] Aeliani fr. 135 ed. Didot. sive fr. 71 ed. Teubn. 16. Ἰώσηπος] Iosephus Ant. I, 11, 1 vol. 1 p. 36, 23. Σοδομῖται] Σοδομῆται pr. cod. 18. cf. Υ, 28. Phot. Lex. p. 628, 21. Zon. Lex. p. 1783 sq. Suid. v. ὑποκρίνεσϑαι. Eust. Od. p. 1437, 31. 19. ἀπολογούμενος] ἀποκρινόμενος grammatici modo commemorati.

13. ὑπολαβὼν ἀντὶ τοῦ διακρίνας. Ἱμέριος· δεινὸν δὲ τὸ πρᾶγμα ὑπολαβών, εἰ μὴ καλλωπίζοιτο τοῖς ἐκείνου καλοῖς ἡ πόλις. καὶ ὑπολαβὼν ἀντὶ τοῦ λογισάμενος ἐπ' ἀμφιβόλῳ, καὶ ἀντὶ τοῦ διακόψας τὸν λόγον καὶ ἀποκριθείς, καὶ ἀντὶ τοῦ λαβών. Ἡρόδοτος· τῶν δὲ ναυαγίων πολλὰ ὑπολαβὼν ἄνεμος Ζέφυρος ἐξέφερε τοῖς Ἀττικοῖς. καὶ ἀντὶ τοῦ ἁπλῶς ἀπολογησάμενος. Θουκυδίδης· τοσαῦτα εἰπόντων Πλαταιῶν Ἀρχίδαμος ὑπολαβὼν εἶπε. καὶ ἀντὶ τοῦ μετὰ ἀπάτης λαβών. Θουκυδίδης· οὐ γὰρ ἂν Κέρκυράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον καὶ Ποτίδαιαν ἐπολιόρκουν.

14. ὑπομιμνήσκω ἀπὸ αἰτιατικῆς εἰς γενικήν. Θεολόγος· πάλιν ὑπομιμνήσκω σε τοῦ βαπτίσματος. καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικήν. Λιβάνιος· οὐχ ἵνα τὰς συμφορὰς ὑπομνήσω τὴν πόλιν.

15. ὑπερθέμενοι ἀντὶ τοῦ ἀναβαλόμενοι. καὶ ὑπερθέμενοι ἀντὶ τοῦ ἀναβιβάσαντες. Λυσίας· ὑπερθέμενοι δὲ παῖδας καὶ γυναῖκας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν.

16. ὑπὸ νύκτα ἀντὶ τοῦ κατὰ νύκτα. Λυσίας· ἀποδρασάντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων.

17. ὑπηρέτης ὁ δοῦλος. καὶ ὑπηρέτης ὁ δήμιος. Μάξιμος· Σωκράτην τοῦτον Ἄνυτος μὲν εἰσήγαγε, Λύκος δὲ ἐδίωκε, κατεδίκασαν δὲ Ἀθηναῖοι, ἔδησαν δὲ οἱ ἕνδεκα, ἀπέκτεινε δὲ ὁ ὑπηρέτης.

---

1. δεινόν δε cod., δεινὸν δὲ ed. pr. 2. καλλοπίζοιτο cod., καλλωπίζοιτο ed. pr. 3. ἐφ' ἀμφιβόλῳ ed. pr., ἐπ' ἀμφιβόλῳ cod. 4. Ἡρόδοτος] Herodotus VIII, 96, 2. 5. ναυαγίων] ναυηγίων Herod. ἐξέφερε] ἔφερε Herod. 6. τοῖς Ἀττικοῖς] τῆς Ἀττικῆς Herod. Θουκυδίδης] Thuc. II, 72, 1. 7. Πλαταιῶν] Πλαταιέων vel τῶν Πλαταιέων plerique Thuc. libri. 8. Θουκυδίδης] Thuc. I, 68, 4. 12. Λιβάνιος] Libanius Decl. vol. 4 p. 423, 18. οὐχ ἵνα] οὐδ' ἵνα Liban. 13. ἀναβαλλόμενοι cod. 14. Λυσίας] Lysias 2, 34. ὑπερθέμενοι] ὑπεκθέμενοι Lys. γυναῖκας] καὶ μητέρας addit Lys. 16. Λυσίας] Lysias 2, 46. ἀποδρασάντων] ἀποδράντων Lys. 18. Μάξιμος] Maximus Tyr. IX, 2 vol. 1 p. 152. 19. Ἄνυτος μὲν εἰσήγαγε] Μέλητος (Μέλιτος libri) μὲν ἐγράψατο, Ἄνυτος δὲ εἰσήγαγε Max. Tyr. Λύκος] Λύκων Max. Tyr.

18. ὑπάγω ἀμετάβατον, καὶ ὑπάγω ἕτερον μεταβατικόν. Θεολόγος· καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραστήν.

19. ὑπαγορεύω ἀμεταβάτως, καὶ ὑπαγορεύω μεταβατικῶς. Συνέσιος· ἀλλὰ καὶ πρὸς ἔνδειξιν καὶ φιλοτιμίαν ὑπαγορεύειν ἐπιστολάς.

20. ὑποδησάμενος ἐπὶ ὑποδημάτων· καὶ ὑπολυσάμενος ἐπὶ τοῦ ἐναντίου. Ἀριστοφάνης· κατάθου θοιμάτιον, ἔπειτα ὑπόλυσαι. τὸ δὲ ἐνδυσάμενος καὶ ἐκδυσάμενος ἐπὶ ἱματίων. καὶ περιδύσας ἀντὶ τοῦ ἐκδύσας. Συνέσιος· πεσόντα δὲ ἤδη περιδύσας τὰ ὅπλα, συχνοὺς ἐπ' αὐτῷ κατείργασται.

21. ὑπέσχε δίκην ἀττικῶς· τὸ δὲ παρέσχε βάρβαρον.

22. ὑμνούμενον τὸ ἐπαινούμενον, καὶ τὸ ᾀδόμενον. Κύπριος· ὥστε καὶ τὸ τῆς Γεέννης ὑμνούμενον πῦρ.

23. ὑπάγουσιν ἀντὶ τοῦ προάγουσι Δημοσθένης ἐν Φιλιππικοῖς.

24. ὑπέρογκος ἐσθὴς λέγεται, καὶ ὑπέρογκος τράπεζα.

25. ὑγιαίνω ἀμετάβατον, καὶ ὑγιαίνω τῷ σώματι καὶ τὸ σῶμα μεταβατικῶς.

26. ὑπεξάγει ἀντὶ τοῦ ὑπεκφεύγει. Μάξιμος· ἔλαφον διώκει λέων, ἡ δὲ φεύγουσα ὑπεξάγει καὶ καταδύεται.

---

2. Θεολόγος] Greg. Naz. Orat. I p. 32 B. 4. Συνέσιος] Synesius Epist. 23 p. 175 C. 7. Ἀριστοφάνης] Ar. Plut. 926 sq.: ΔΙΚ. κατάθου ταχέως θοἰμάτιον. ΚΑΡ. οὗτος, σοὶ λέγει. ΔΙΚ. ἔπειθ' ὑπόλυσαι.
9. Συνέσιος] Synesius Epist. 122 p. 259 A. 10. ἐπ' αὐτὸ cod., ἐπ' αὐτῷ Synes. 11. τὸ δὲ παρέσχε βάρβαρον] dixit tamen παρασχεῖν δίκην Euripides Hipp. 49. Iph. Taur. 944. Phoen. 1654, ut δίκας παρασχεῖν Andr. 1107. 14. 15. ex Harpocr. p. 179, 6, ubi ἐν omittitur. cf. Phot. Lex. p. 619, 12 et Suid. v. ὑπάγουσιν. 14. προάγουσιν ed. pr., προάγουσι cod. Δημοσθένης ἐν Φιλιππικοῖς] Dem. 9, 65: ἢ γὰρ ἐξεπίτηδές ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν. quem locum in marginem relegavit Bekker. 17. τὸ σώματι cod., τῷ σώματι ed. pr. 19. Μάξιμος] Maximus Tyr. III, 1 vol. 1 p. 29.

27. ὑπακοῦσαι ἀντὶ τοῦ ὑποταγῆναι, καὶ συντάσσεται δοτικῇ. καὶ ὑπακοῦσαι ἀντὶ τοῦ ἁπλῶς ἀκοῦσαι, καὶ συντάσσεται αἰτιατικῇ. Ἀριστείδης· οὗ τὰς ἀπειλὰς πρῶτον οὐκ ἦν ἑστῶσι τοῖς ὠσὶν ὑπακοῦσαι.

28. ὑποκρίνασϑαι ἀντὶ τοῦ ἀποκρίνασϑαι. Ἡρόδοτος· καὶ ἀπαιτέειν τὴν ϑυγατέρα, τοὺς δὲ ὑποκρίνασϑαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρπαγῆς.

29. ὑποσπόνδους ἔλαβον τοὺς νεκροὺς ἀντὶ τοῦ σπονδὰς πρὸς ἀλλήλους ποιησάμενοι. Θουκυδίδης· τούς τε νεκροὺς κομίζεται τῇ ὑστεραίᾳ ὑποσπόνδους.

30. ὑπολαμβάνει ἀντὶ τοῦ λογίζεται, καὶ τὸ διαδέχεται. ϑεολόγος· ἐκδημίαι τινές, ἐπειδή γε ἡμᾶς οὐκ εἶχε,τῶν ἀναγκαίων ὑπολαμβάνουσι. καὶ Ἡρόδοτος· ὑπολαμβάνοντες δὲ οἱ ἄνεμοι καὶ διασκιδνάντες τήκουσιν.

31. ὑπόσχομαι παϑητικῶς ἀντὶ τοῦ ὑπισχνοῦμαι. ὑπόσχω δὲ ἐνεργητικῶς ἀντὶ τοῦ δίδωμι ἢ ἐκπέμπω. Ἰουλιανός· ἀλλὰ τῆς εὐχαριστίας, πρὸς ϑεῶν καὶ Διὸς ἀγοραίου καὶ πολιούχου, ὑπόσχετε λόγον. καὶ ϑεολόγος· τί οὖν δοκεῖ καὶ τί βέλτιον; νῦν ὑπόσχωμεν τὰς εὐϑύνας.

---

1. συντάττεται ed. pr., συντάσεται cod., συντάσσεται scripsi. 2. συντάττεται ed. pr., συντάσσεται cod. 3. Ἀριστείδης] Aristides vol. 1 p. 206. 4. ὑπακοῦσαι] ἀκοῦσαι Aristid. 5. Ἡρόδοτος] Herodotus I, 2, 3. 6. ἀπαιτέεν ed. pr., ἀπαιτέειν cod. et Herod. ὑποκρίνασϑαι] ἀποκρίνασϑαι aliquot libri Herodotei. ἐκείνη cod., ἐκεῖνοι Herod. 9. Θουκυδίδης] Thuc. II, 82. 11. ϑεολόγος] Greg. Naz. Orat. XX p. 334 D. 13. ὑπολαμβάνουσιν ed. pr., ὑπολαμβάνουσι cod. Ἡρόδοτος] Herodotus II, 25, 2. 14. διασκίδναντες ed. pr., διασκιδνάντες cod. 15. ὑπόσχομαι] alterum Byzantinae istius formae exemplum infra habes Υ, 40. plura afferuntur in Thes. Gr. L. vol. 8 p. 276 A. ὑπόσχω] rectius ὑπέχω dicturus erat lexicographus. 16. Ἰουλιανός] Iulianus Misop. p. 366 B. 17. εὐχαριστίας] ἀχαριστίας Iul. ἀγορέου cod., ἀγοραίου Iul. 18. ϑεολόγος] Greg. Naz. Orat. VI p. 138 D. ὑπόσχομεν cod., ὑποσχῶμεν Greg. Naz. ed. Col.

32. ὑπὸ χεῖρα γράφεται καὶ ὑποχείριος. ὁ μέγας Βασίλειος· ὅσον ἐστὶ κακὸν ἀντὶ ὁδηγίας πλάνης αἴτιον γενέσθαι τοῖς ὑποχειρίοις.

33. ὑπερήμεροι κυρίως οἱ δίκην ὀφείλοντες ὁποίαν οὖν καὶ τὰ ἐπιτίμια τοῖς ἕλκουσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις.

34. ὑπό των. Δίων· ταῦτα μὲν δὴ λέγεται ὑπό των.

35. ὑπερήμισυ. Συνέσιος· ὑπερήμισυ καὶ ὁ κυβερνήτης ἦσαν Ἰουδαῖοι.

36. ὑπολύσας λέγεται καὶ ἐπὶ βοός. Μάξιμος· φέρε εἴ τις ἐπεχείρει τὸν βοῦν ὑπολύσας τῶν ἀρότρων.

37. ὑπερβάλλεσθαι ἀντὶ τοῦ νικᾶν, καὶ ἀντὶ τοῦ ὑπερτίθεσθαι. Ἡρόδοτος· ἐπείτε ἡμέας συνταχύνειν ἀναγκάζεις καὶ ὑπερβάλλεσθαι οὐκ ἐᾷς.

38. ὑποθησόμενον ἀντὶ τοῦ ὑποσχεθέντα. Ἡρόδοτος· ἔπεμ-

---

2. ὅσον ἔστι cod. 4—6. ex Harpocr. p. 179, 9. quem pressius sequuntur Photius Lex. p. 622, 10 et Suid. v. ὑπερήμεροι. cf. Lex. Bekk. p. 311, 28. 4. ὀφείλοντες] ὀφλόντες Lex. Bekk. ὁποιανοῦν cod. 5. ἕλκουσι] ἑλοῦσι recte Harp. et Lex. Bekk. ἀποδίδοντες ed. pr., ἀποδιδόντες cod. 7. Δίων] Dio Chrys. Orat. I, 59 (vol. 1 p. 13, 16 ed. L. Dind.): ταῦτά μὲν οὖν λέγεται μάτην ὑπ' αὐτῶν. ita nunc scribitur; sed pro ταῦτα μὲν οὖν plerique libri ταῦτα δὴ praebent, ὑπ' αὐτῶν coniectura est Iacobsii pro eo quod et libri habent et hic lexicographus commemorat ὑπό των. istud ὑπό των ut in sequioris aetatis scriptoribus ferri potest (cf. L. Dindorfius Thes. Gr. L. vol. 7 p. 2232 B), ita Dioni Chrysostomo recte abiudicatur. utrum vero ὑπ' αὐτῶν scribendum sit an alia medela adhibenda, mihi videtur esse incertum. 8. Συνέσιος] Synesius Epist. 4 p. 162 A. ὑπερήμισυ καὶ] ὑπὲρ ἥμισυ μὲν καὶ Synes. 10. Μάξιμος] Maximus Tyr. II, 3 vol. 1 p. 21. 13. Ἡρόδοτος] Herodotus III, 72, 1. ἐπείτε] ἐπεί τε ed. pr. ἡμέας] ὑμέας pr. cod. 15. Ἡρόδοτος] Herodotus V, 98, 1. 15 — p. 185, 1. ἔπεμψεν] ἔπεμψέ με Herod.

ψεν Ἀρισταγόρης Μιλήτου τύραννος σωτηρίην ὑποϑησόμενον ὑμῖν, ἤνπερ βούλησϑε πείσεσϑαι.

39. ὑπομένειν ἀντὶ τοῦ ἁπλῶς μένειν. Ἡρόδοτος· ἐντειλάμενος τοῖσι στρατηγοῖσι τὸν ναυτικὸν στρατὸν ὑπομένειν ἐν Θέρμῃ. καὶ ὑπομένειν ἀντὶ τοῦ ἐκδέχεσϑαι. ὁ αὐτός· ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ.

40. ὑποδέχεται ἀντὶ τοῦ ὑπόσχεται. ὁ αὐτός· Μαρδόνιον, εἰ ἐϑέλετε καὶ ὑποδέκεται ταῦτα ποιήσειν, αὐτοῦ καταλιπεῖν.

41. ὑπεξῆλϑον ἀντὶ τοῦ κρυφίως ἔφυγον. ὁ αὐτός· οἱ δὲ ἐς Ἄμφισσαν τὴν Λοκρίδα ὑπεξῆλϑον.

42. ὑβριοπαϑῶν ἀντὶ τοῦ πάσχων ὑβριζόμενος. Κύπριος· ἀγανακτῶν, ὡς οἶμαι, καὶ ὑβριοπαϑῶν.

43. ὑπογραφαὶ λέγονται καὶ αἱ ἐπὶ τῶν παρειῶν τῶν γυναικῶν γινόμεναι χρωματώσεις. Φίλων· καὶ ταῖς τῆς ὄψεως ὑπογραφαῖς ἐπισκιάζονται.

44. ὑφ' ἕνα καιρὸν ἀντὶ τοῦ κατὰ τὸν αὐτὸν καιρόν. καὶ ὑφ' ἕνα τόπον. Φίλων· πάντων δὲ ὑφ' ἕνα καιρὸν δεδωκότων δίκην.

---

1. Μιλήτου] ὁ Μιλήτου Herod. ὑποϑησόμενον ἡμῖν cod., ὑμῖν ὑποϑησόμενον plerique Herodoti libri, ὑποϑησόμενον ὑμῖν al. 2. βούλεσϑε cod., βούλησϑε Herod. πείσεσϑαι] πείϑεσϑαι plerique libri Herod. 3. Ἡρόδοτος] Herodotus VII, 121, 1. 5. ὁ αὐτός] Herodotus VII, 202, 1. ἦσαν] ἔσαν plerique Herodoti libri. 7. ὁ αὐτός] Herodotus VIII, 102, 1. 7. 8. Μαρδόνιον εἰ ἐϑέλετε] Μαρδόνιον δὲ εἰ ἐϑέλει τε Herod. 9. ὁ αὐτός] Herodotus VIII, 36, 3.

11. ὑβριοπαϑῶν] syllabae ὑβριο correcturae debentur, quarum loco quid primum fuerit nequit dignosci. 14. χρωματώσεις] χρωματίσεις malim. 15. ἐπισκιάζονται] sic ed. pr., in codice ἐπισκιάζοντα videtur extare.

Φ.

1. φοβερὸς ὁ φόβον ἐμποιῶν. καὶ φοβερὸς ὁ περιδεής. Θουκυδίδης· οἱ δὲ φοβεροὶ γενόμενοι ἔφευγον.

2. φύσις ἡ οὐσία, καὶ τὸ εἶδος. Σοφοκλῆς· ποταπὸς ἦν τὴν φύσιν; καὶ ἡ γνώμη. οἱ μὲν οὖν εἰδότες τὴν φύσιν τῆς γυναικὸς οἶδ' ὅτι μοι συγγνώμην ἕξουσι. καὶ φύσις τὸ κάλλος.

3. φιλεῖ ἀντὶ τοῦ ἀγαπᾷ. καὶ φιλεῖ ἀντὶ τοῦ εἴωθε. Θεολόγος· φιλεῖ γὰρ ἐν τοῖς τοιούτοις φιλιστορεῖν ἡ ψυχή.

4. φρίσσει ὁ ἄνθρωπος ταῖς θριξίν, ἡ μάχη ταῖς ἐγχείαις, ἡ θάλασσα τοῖς κύμασι.

5. φαίνεται μετὰ ἀπαρεμφάτου λέγεται ἢ μετὰ μετοχῆς.

6. φυλάττω τὸ ἐπιτηρῶ. καὶ φυλάττω τὸ ἐκφεύγω. Ἀριστοφάνης· νὴ τὸν Δί' ὅ τι βούλει, πλὴν πιέζομαι, τοῦτο δὲ φύλαξαι.

7. φλογοῦται ἀντὶ τοῦ ἐκκαίεται. Μάξιμος· ὁ μὲν ἀποφλογοῦται τὰ ὄμματα καὶ λοιδορεῖται πᾶσι.

---

1. Θουκυδίδης] Arriani potius sunt quae afferuntur verba, v. Anab. V, 24, 7. erroris ansam aperit Suidas: φοβερὸς ὁ φοβούμενος παρὰ Θουκυδίδῃ (II, 3, 4) καὶ Φερεκράτει. καὶ παρὰ Ἀρριανῷ· οἱ δὲ φοβεροὶ γινόμενοι ἔφευγον, ἀπολιπόντες τὰς πόλεις. 3. Σοφοκλῆς] Soph. Oed. R. 740: τὸν δὲ Λάϊον φύσιν τίν' εἶχε φράζε. hunc enim spectari locum recte intellexit G. Dindorfius in Philol. vol. 12 p. 191 sq. et ego ibidem dixi p. 193, quod fugit Meinekium in Soph. Oed. Col. p. 238. 4. 5. οἱ μὲν οὖν — ἕξουσι] verba Libanii Decl. vol. 4 p. 135, 11. 4. τὴν φύσιν τῆς γυναικὸς] τῆς γυναικὸς τὴν φύσιν Liban. 5. ἕξουσι] ἔχουσι Liban. 6. Θεολόγος] Greg. Naz. Orat. XX p. 320 C. 8. θριξὶ cod., θριξίν scripsi. ἡ μάχη ταῖς ἐγχείαις] cf. Hom. Il. N, 339: ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν. 11. Ἀριστοφάνης] Ar. Ran. 3. 12. βούλει] βούλει γε Aristoph. 13. Μάξιμος] Maximus Tyr. XXIV, 8 vol. 1 p. 474.

8. φεύγω ἐπὶ ἐξορίας. καὶ φεύγω τήνδε τὴν δίκην. φεύγω δὲ φόνου ἀντὶ τοῦ κατηγοροῦμαι.

9. φώριον τὸ κλέμμα. Λιβάνιος· κομίζεσθαι τὰ φώρια.

10. φοιτᾷ ἀντὶ τοῦ ἁπλῶς παραγίνεται. καὶ φοιτᾷ ἀντὶ τοῦ μαθητὴς γίνεται.

11. φαῦλον τὸ ἁπλοῦν καὶ ἀπονήρευτον. Εὐριπίδης· φαῦλόν τ' ἄκομψον. καὶ φαῦλον τὸ αἰσχρόν. Πλάτων· φαῦλον πρᾶγμα ζητεῖς. καὶ φαῦλον τὸ μέγα. Σοφοκλῆς· εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω.

12. φέρω τὸ ὑπομένω. Εὐριπίδης· φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ. καὶ φέρω τὸ βαστάζω. Ἀριστοφάνης· οὐκοῦν τὸ βάρος ὃ σὺ βαστάζεις οὗνος φέρει. καὶ φέρω τὸ κομίζω. Θεολόγος· ὅσον δὲ εἰς δαίμονας φέρει. καὶ φέρω ἀντὶ τοῦ φέρομαι. Ἡρόδοτος· λέγεται φωνὴν ἐκ τοῦ ἀδύτου γενέσθαι φέρουσαν μὲν πρὸς τὸν Ἀριστόδικον, λέγουσαν δὲ τάδε. καὶ φέρω τὸ λαμβάνω. Εὐριπίδης· ἐν τούτῳ γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις, ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ μηδὲν φέρηται τῶν κακιόνων πλέον. καὶ φέρει ἡ γῆ

---

2. φόνου] φόνον pr. cod. 3. Λιβάνιος] Libanius Decl. vol. 4 p. 68, 3. κομίζεσθαι] κομίζεσθε Liban. 6—9. haud dissimilia sunt quae novimus ex Etym. M. p. 789, 33. Phot. Lex. p. 642, 19. Suid. v. φαῦλον. 6. Εὐριπίδης] Eur. fr. 476, 1: φαῦλον ἄκομψον, τὰ μέγιστ' ἀγαθόν. 6. 7. φαῦλον τ' cod., φαῦλόν τ' ed. pr. 7. Πλάτων] Plat. Phaed. p. 95 E: οὐ φαῦλον πρᾶγμα, ἔφη, ὦ Κέβης, ζητεῖς. 8. Σοφοκλῆς] Soph. fr. 38. 10. Εὐριπίδης om. ed. pr. codice invito. versus qui sequitur est Hec. 376. φέρει ed. pr., φέρει μὲν cod. et Eur. 11. Ἀριστοφάνης] Ar. Ran. 27. οὐκοῦν] οὔκουν Aristophani tribuitur, rectius οὐκ οὖν scripseris. 12. ὁ σὺ βαστάζεις ed. pr., ὃ σὺ βαστάζεις cod., τοῦθ' ὃ σὺ φέρεις Aristoph. οὗνος] ὄνος recte Aristophanis codex Rav. Θεολόγος] Greg. Naz. Orat. XX p. 323 D. 13. Ἡρόδοτος] Herodotus I, 159, 3. 15. φέρω] φέρομαι C. Lugebil. Εὐριπίδης] Eur. Hec. 306—8. 16. τούτῳ] τῷδε Eur., τούτῳ etiam Eustratius. ὅτάν τις cod., ὅταν τις ed. pr.

καρπόν. Ἰώσηπος· πόλις δέ ἐστιν εὐδαίμων αὕτη φοίνικάς τε φέρειν ἀγαθή. ὅθεν καὶ εὐφορία.

13. φορεῖς ἀντὶ τοῦ φέρεις. Δίων· σὺ δέ, ἔφη, καὶ τὸν θυμὸν ἐν τῇ ψυχῇ φορεῖς ἠκονημένον.

14. φθόην Δημοσθένης ἐν τῷ περὶ τῶν Λυκούργου παίδων τὴν φθίσιν καλεῖ.

15. φοβῶ καὶ ἐκφοβῶ· φοβοῦμαι περὶ σοῦ ἢ περὶ σοί.

16. φαυλίζω καὶ ἐκφαυλίζω.

17. φημίζω καὶ διαφημίζω.

18. φορὰ ἡ κίνησις, καὶ ἡ προσφορά. Ἀριστείδης· καὶ μὴν τούς γε θεοὺς ἀμφοτέρων χάριν εἰκὸς τῇ γῇ τὴν φορὰν πληρῶσαι. καὶ φορὰ ἡ ἐπιτυχία τῶν καρπῶν. Ἀριστείδης· καὶ καρπῶν ἁπάντων φοράν. καὶ Λιβάνιος· ὥσπερ ἂν εἴ τις παρὰ τῆς Δήμητρος αἰτήσας εἰς πλῆθος αὐτῷ γενέσθαι τοὺς καρπούς, εἶτα τυχὼν ἄχθοιτο τῇ φορᾷ. λέγεται δὲ καὶ δένδρα ἄφορα. Ἡρόδοτος· δένδρεα καὶ καρποφόρα καὶ ἄφορα πολλά.

19. φατρία τὸ τρίτον μέρος ἐστὶ τῆς φυλῆς. φράτορες δὲ οἱ τῆς αὐτῆς φατρίας μετέχοντες, καὶ τὸ φατριάζειν τὸ τῆς φατρίας μετέχειν. φατρίαρχος δέ ἐστιν ὁ τῆς φατρίας ἄρχων.

---

1. Ἰώσηπος] Iosephus Ant. IV, 6, 1 vol. 1 p. 200, 10. 3. Δίων] Dio Chrys. Orat. IV, 65 (vol. 1 p. 75, 31 ed. L. Dind.). σύ δε cod., σὺ δὲ ed. pr. 5. 6. paulo uberiora praebet Harpocr. p. 181, 18. quicum cf. Phot. Lex. p. 646, 16. 5. Δημοσθένης ἐν τῷ περὶ τῶν Λυκούργου παίδων] Dem. Epist. 3 p. 1481, 22: ὥστε δύ' ἔχειν ἑταίρας, αἳ μέχρι φθόης καλῶς ποιοῦσαι προπεπόμφασιν αὐτόν. 6. φθῆσιν cod., φθίσιν Harp. 7. ἐκφοβῶ] ἐκφοβῶ σε scripserim. 8. 9. glossas 16 et 17 in unum coniungit ed. pr., ego codicem sequi malui.

10. Ἀριστείδης] Aristides vol. 1 p. 166. 11. ἀμφοτέρ... χάριν ed. pr., ἀμφοτέρους χάριν cod., ἀμφοτέρων χάριν ex Aristide scripsi.

12. Ἀριστείδης] Aristides vol. 1 p. 162. 13. Λιβάνιος] Libanius Decl. vol. 4 p. 57, 10. ὅσπερ cod., ὥσπερ Liban. 14. αὐτῶ cod.

15. Ἡρόδοτος] Herodotus II, 156, 2. 17—19. ex Harpocr. p. 182, 15. cf. Suid. v. φράτορες. 17. φατρία] φρατρία Harpocrationis libri

20. φύρω τὸ συγχέω. φυρῶ δὲ ἄρτους, ὅθεν καὶ φύραμα.

21. φόνος τὸ τραῦμα. Εὐριπίδης· εἰς σῶματ᾽ αὐτοῦ δεινὸν ἐμβάλλει φόνον. καὶ φόνος ἡ ἐνέργεια, καὶ τὸ φονευθὲν πρᾶγμα. Σοφοκλῆς· ἕζετο μέσον τοῦ ἀρνείου φόνου.

22. φίλτατα λέγονται γονεῖς, παῖδες καὶ ὁμόζυγοι ἀλλήλοις.

23. φεύγει τις διωκόμενος ὑπό τινος. καὶ φεύγει φυγαδευόμενος καὶ ἐξοριζόμενος. καὶ φεύγει κατηγορούμενος.

24. φυλάττομαι τὸ ἐκφεύγω. καὶ φυλάττομαι τὸ ἐξασφαλίζομαι καὶ ἰδιοποιοῦμαι.

25. φάρμακα τὰ σωτήρια καὶ τὰ ὀλέθρια. καὶ φάρμακα τὰ χρώματα. Ἡρόδοτος· οἱ προμαχεῶνες ἠνθισμένοι εἰσὶ φαρμάκοισι. καὶ Ἱμέριος· ὥστε καὶ νειμάμενοι τὴν μορφὴν αὐτοῦ Λύσιππός τε καὶ Ἀπελλῆς, ὁ μὲν φαρμάκοις, ὁ δὲ χαλκῷ τὴν φύσιν τοῦ βασιλέως ἡρμήνευσαν.

26. φθόρος ἀττικῶς ἡ φθορά. Θουκυδίδης· καὶ τὸν πλεῖστον φθόρον τούτῳ ἐνεποίει.

---

plerique hic et similiter infra. forma φατρία sequioribus scriptoribus usitatissima est; Aristidem vol. 1 p. 77 μιᾷ φατρίᾳ scripsisse non crediderim. τὸ τρίτον μέρος ἐστὶ] ἐστὶ τὸ τρίτον μέρος Harp. φράτορες] φρατέρες in Harp. editur, ubi libri fluctuant. **18.** φατριάζειν] φρατρίζειν Harp. τὸ τῆς] τὸ τῆς αὐτῆς Harp. **19.** φατριάρχος ed. pr., φατρίαρχος cod., φρατρίαρχος Harp.

2. Εὐριπίδης] Eur. Phoen. 61. εἰς σώματ᾽ αὐτοῦ] εἰς ὄμματ᾽ αὐτοῦ meliores Euripidis libri, pauci εἰς ὄμμαθ᾽ αὐτοῦ. **3. 4.** verba καὶ φόνος ἡ ἐνέργεια — ἀρνείου φόνου in margine codicis a pr. m. addita sunt. **4.** Σοφοκλῆς] Soph. Ai. 309: ἐν δ᾽ ἐρειπίοις νεκρῶν ἐρειφθεὶς ἕζετ᾽ ἀρνείου φόνου. μέσον ἀρνείου ed. pr., μέσον τοῦ ἀρνείου cod. **6.** φεύγει τίς cod., φεύγει τις ed. pr. **11.** Ἡρόδοτος] Herodotus I, 98, 6. ἠνθισμένοι] ἠνθυσμένοι pr. cod. εἰσι sine accentu cod. **12.** Ἱμέριος] Himerius Ecl. XXXI, 2. ὥστε καὶ] ὥστε δὴ καὶ Himerius teste Phot. Bibl. p. 375 a 7. δειμάμενοι cod., νειμάμενοι Phot. Λύσιππός τε] Λύσιππος Phot. **13.** Ἀπελλῆς] prius λ in codice postea suppletum est. **15.** Θουκυδίδης] Thuc. II, 51, 4. **16.** τούτῳ] τοῦτο Thuc.

27. φοινικὶς τὸ κόκκινον μαγνάδιον. Ἀριστοφάνης· κατέπαττ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι.

28. φεῦ λέγεται καὶ ἐπὶ ἡδονῆς. Ἱμέριος· φεῦ κάλλους, φεῦ μεγέθους.

X.

1. χρηματίζεσθαι ἀντὶ τοῦ πλουτεῖν, καὶ ἀντὶ τοῦ χρήματα ἀπαιτεῖν, καὶ ἀντὶ τοῦ ὁμιλεῖν. Ἡρόδοτος· ἐς τὰ βασιλήια εἰσελθὼν χρηματίσασθαι τῷ βασιλεῖ. χρηματίζει δὲ ἐνεργητικῶς ἀντὶ τοῦ καταλέγεται· χρηματίζει βουλῇ καὶ δήμῳ. καὶ ἀντὶ τοῦ ἀνταποκρίνεται· τοῖς πρέσβεσιν ἐχρημάτιζε. καὶ ἀντὶ τοῦ λόγους ἀλλήλοις διδόναι ἤγουν δικαιολογηθῆναι. Ἀριστοφάνης· καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου ὅ τι χρὴ παθεῖν.

2. χρήστης ὁ δανειστὴς καὶ ὁ δανειζόμενος παρὰ τοῖς παλαιοῖς, ὡς Ἁρποκρατίων λέγει.

3. χειλωτὴρ τὸ παρὰ Ῥωμαίοις καπίστριον.

4. χαλκοτύπος ὁ χαλκεύς. Λιβάνιος· ὁ γὰρ κακῶς ἀπολούμενος χαλκοτύπος.

---

1. μαγνάδιον quid sit nescio. Ἀριστοφάνης] Ar. Plut. 731. 1. 2. κατέπαττ'] κατεπέτασ' in Aristophane scribitur, sed κατέπασσ' codex Rav., κατέπλασ' Ven. 6. Ἡρόδοτος] Herodotus III, 118, 2. εἰσελθὼν] ἐσελθὼν Herod. 7. βασιλεῖ] βασιλέι Herod. 8. χρηματίζει βουλῇ καὶ δήμῳ] χρηματίζει ἡ βουλὴ καὶ ὁ δῆμος Suidas v. χρηματίζεσθαι. 9. τοῖς πρέσβεσιν ἐχρημάτιζε] Appiani haec esse verba testatur Suidas v. χρηματίζει, quicum cf. Lex. Bekk. p. 179, 21. 10. ἤτοι ed. pr., ἤγουν codex praebet compendio scriptum eodem quod alibi Schubartum fefellit. Ἀριστοφάνης] Ar. Thesm. 378 sq. 13. Ἁρποκρατίων] Harpocr. p. 185, 4. 15. Λιβάνιος] Libanius Decl. vol. 4 p. 613, 21. ὁ γὰρ] ὁ γάρ τοι Liban. 15. 16. ἀπολούμενος] ἀπολλύμενος Liban., praestat Lexici Vindob. scriptura.

5. χρεμετισμὸς καὶ φρυαγμὸς ποιητικῶς ἐπὶ ἵππων.

6. χειμάζει ἀντὶ τοῦ τὸν καιρὸν τοῦ χειμῶνος ἔν τινι τόπῳ διαβιβάζει. Ἡρωδιανός· ἐλθὼν δὲ εἰς τὴν Νικομήδειαν ἐχείμαζε. οὕτω καὶ τὸ θερίζει καὶ ἐνεαρίζει.

7. χρεία ὅταν ἐν ἐνδείᾳ τίς τινος καθέστηκε καὶ δέηται τούτου μὴ παρόντος· χρῆσις δὲ ὅταν τις ἔχων αὐτὸ καρποῦται.

8. χρόνιος λέγεται ὁ χρόνον πολὺν ἐπιμένων τινὶ πράγματι. Εὐριπίδης· βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις. καὶ χρόνιος ὁ μετὰ πολὺν χρόνον ἐλθών. Εὐριπίδης· χρόνιος, ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις. καὶ Προκόπιος· δέχου τὴν παροῦσαν ἐπιστολήν, χρονίαν μὲν ἀλλ' ὅμως θαρροῦσαν.

9. χρῆται συμφορᾷ ἀντὶ τοῦ δυστυχεῖ. Πλούταρχος· ἐπεὶ δὲ Ἡρακλῆς ἐχρήσατο συμφορᾷ. οὕτω καὶ χρῆται βλάβῃ, ζημίᾳ, ἀνάγκῃ καὶ τὰ ἕτερα.

10. χρήζω καὶ αἰτιατικῇ. Σοφοκλῆς· οὔπω τοσοῦτον ἠπατημένος κυρῶ ὡς τἄλλα χρήζειν σὺν κέρδει κακά.

11. χρυσίον ὁ χρυσός. Ἀριστοφάνης· ὁ δὲ χρυσοχοεῖ χρυσίον παρὰ σοῦ λαβών. καὶ χρυσίον τὰ νομίσματα. Συνέσιος· οὗτοί μοι προσήγαγον αὐτὸν χρυσίον ὡς ἡμᾶς νομὴν στρατιώταις κομίζοντα.

---

1. ποιητικῶς errori debetur aut grammatici aut librarii. 3. Ἡρωδιανός] Herodianus V, 5, 2. ἐλθών δε cod., ἐλθὼν δὲ ed. pr., ἐλθών τε Herod. 5. τίς τινὸς cod., τίς τινος ed. pr. καθέστηκε καὶ δέηται] καθεστηκῶς δέηται malim. 6. ὅτάν τις cod., ὅταν τις ed. pr. καρποῦται] καρπῶται malim. 8. Εὐριπίδης] Eur. Or. 485. 9. Εὐριπίδης] Eur. Or. 740. 10. Προκόπιος] Procopius Gaz. Epist. 21 in Maii Class. auct. vol. 4 p. 218. 11. θαρροῦσαν] θαρρεῖσαν edidit Maius. 12. Πλούταρχος] Plut. Thes. c. 6. 12. 13. ἐπεί δε cod., ἐπεὶ δὲ ed. pr. 15. Σοφοκλῆς] Soph. Oed. R. 594 sq. 16. ὡς τἄλλα] ὥστ' ἄλλα Soph. σὺν κέρδει κακά] ἢ τὰ σὺν κέρδει καλά Soph. 17. Ἀριστοφάνης] Ar. Plut. 164. χρυσοχοεῖ] χρυσοχοεῖ γε Aristoph. 18. Συνέσιος] Synesius Epist. 18 p. 176 A. οὗτοι μοι cod., οὗτοί μοι ed. pr. 19. προσήγαγον] προσήγαγόν τε Synes. ἡμᾶς] ὑμᾶς Synes.

12. χρῶμαι συντάσσεται αἰτιατικῇ ἀττικῶς. Ἀριστείδης· ἀλλὰ γὰρ οὐκ ἔχω τί χρήσομαι. καὶ γενικῇ. ὁ αὐτός· ἄριστα χρώμενοι τῆς τοῦ μέσου διανοίας.

13. χρᾷ ὁ Ἀπόλλων ἀντὶ τοῦ χρησμὸν δίδωσι. χρᾶται δὲ παθητικῶς ἀντὶ τοῦ χρησμὸν λαμβάνει. Ἑρμογένης· χρωμένῳ ἀνεῖλεν ὁ θεός, ἀνδροφόνοις οὐ χρῶ. ἰστέον δὲ ὅτι ἀνδροφόνος λέγεται καὶ ὁ παιδίον φονεύσας ἢ γυναῖκα.

14. χάρις ἡ ἐπαγωγὸς δύναμις. χάρις ἐπανθεῖ τοῖς χείλεσι. καὶ ἡ τιμή. τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις. καὶ χάρις ἡ μὴ ἕνεκεν ἀντιδόσεως ἢ προηγησαμένης ἢ μελλούσης δόσις. Ἰώσηπος· ἀλλὰ κατὰ τὴν αὐτοῦ χάριν ἧκεν εἰς τὴν ἐκκλησίαν. καὶ χάρις ἡ ἡδονή. Εὐριπίδης· οἳ τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε, ἢν τοῖς πολλοῖς πρὸς χάριν λέγητέ τι.

15. χωρὶς ἀντὶ τοῦ ἄνευ. καὶ χωρὶς ἀντὶ τοῦ διῃρημένως. Ἡρόδοτος· διέταξε χωρὶς ἑκάστους εἶναι τούς τε αἰχμοφόρους καὶ τοὺς τοξοφόρους.

16. χρεὼν χωρὶς τοῦ ἄρθρου ἀντὶ τοῦ πρέπον καὶ ὀφειλόμενον·

---

1. συντάττεται ed. pr., συντάσσεται cod. Ἀριστείδης] Aristides vol. 1 p. 162. **2.** χρήσομαι] sic Aristidis libri GN, χρήσωμαι alii. γενικῇ] dubitari vix potest quin errarit lexicographus. **5.** Ἑρμογένης] Hermogenes in Rhet. Gr. vol. 3 p. 16, 15. cf. ibid. p. 18, 19. **6.** ὅτι καὶ ἀνδροφόνος cod., ὅτι ἀνδροφόνος scripsi. **6. 7.** λέγεται καὶ ὁ] λέγεται ὁ ed. pr. atque ita primum cod., ubi καὶ a pr. m. insertum est. **9. 10.** τύμβον δὲ — ἡ χάρις] Eur. Hec. 319 sq. **9.** ἀξιούμενον τὸν ἐμὸν] τὸν ἐμὸν ἀξιούμενον cod., sed literis β et α supra versum scriptis genuinus ordo indicatur. **10.** διαμακροῦ cod., διὰ μακροῦ ed. pr. **11.** Ἰώσηπος] Iosephus Ant. IV, 2, 4 vol. 1 p. 186, 10. ἀλλὰ] ἀλλ' οὐ Ios. **12.** Εὐριπίδης] Eur. Hec. 256 sq. **13.** τοῖς πολλοῖς] τοῖσι πολλοῖς Eur. **15.** διῃρημένης ed. pr., διῃρημένως cod., διῃρημένος C. Lugebil. **16.** Ἡρόδοτος] Herodotus I, 103, 1. **17.** τοξαφόρους ed. pr., τοξοφόρους cod.

μετὰ δὲ τοῦ ἄρθρου τὸ χρεὼν λαμβάνεται ἐπὶ θανάτου. Συνέσιος· ἐμποιεῖ δέ τινα διατριβὴν τῷ χρεών. πολλάκις δὲ μετὰ τοῦ ἄρθρου δηλοῖ τὸ πρέπον καὶ ἀκόλουθον. Συνέσιος· εἰ δὲ διὰ τὸν τῶν περικεχυμένων τῶν πραγμάτων ὄχλον τὸ χρεὼν ἠμέληται, δεῖξον, ὦ θαυμάσιε.

17. χειμάζει τὸ καιρὸν τοῦ χειμῶνος ἔν τινι τόπῳ διάγει. Ἰουλιανός· ἐτύγχανον ἐγὼ χειμάζων περὶ τὴν φίλην Δουλκιτίων. καὶ Ἀριστοφάνης· καὶ ταῦτα συνεχειμάζετο. λέγεται καὶ χειμάζεσθαι ἀντὶ τοῦ κλυδωνίζεσθαι. θεολόγος· εἰς τὸ τῆς λύπης ἑαυτὸν ἔρριψε πέλαγος καὶ διὰ τοῦτο χειμάζεται καὶ καθεύδει. καὶ χειμάζει ἀντὶ τοῦ χειμών ἐστιν. Ἡρόδοτος· ἡμέρας γὰρ δὴ ἐχείμαζε τρεῖς.

18. χωρεῖ ἀντὶ τοῦ δέχεται. Συνέσιος· οὐδέπω χωρούσης τῆς ἡλικίας οὔτε ψυχῆς οὔτε σώματος τελειότητα. καὶ χωρεῖ ἀντὶ τοῦ ἐπέρχεται ἢ ἐπαύξεται. Ἀριστοφάνης· χωρεῖ τὸ κακόν.

19. χαίρειν ἀντὶ τοῦ εὐφραίνεσθαι. καὶ χαίρειν ἀντὶ τοῦ ἐνασμενίζειν ἤγουν ἀντὶ τοῦ ἀσμένως ἔν τινι πράγματι προσκεῖσθαι.

---

1. Συνέσιος] Synesius Epist. 73 p. 220 C. 2. το χρεών ed. pr., τῷ χρεὼν cod. et Synes. πολλάκις δὲ καὶ ed. pr., πολλάκις δὲ cod. 3. Συνέσιος] Synesius Epist. 92 p. 232 A. διὰ τὸν τῶν] διὰ τῶν pr. cod., sed τὸν pr. m. addidit. 4. τῶν πραγμάτων] πραγμάτων Synes. ἠμέληται] μέχρι τοῦ νῦν addit Synes. 5. ὁ ed. pr., ὦ cod. et Synes. 6. cf. X, 6. τὸ καιρὸν] τὸν καιρὸν malim. 7. Ἰουλιανός] Iulianus Misop. p. 340 C. περὶ] παρὰ Iul. Δουλκιτίων] Λευκετίαν vel Λουκετίαν Iuliani libri, Λουτετίαν scribendum. 8. Ἀριστοφάνης] Ar. Plut. 847. 9. θεολόγος] Greg. Naz. Orat. I p. 42 D. 10. διατοῦτο cod., διὰ τοῦτο ed. pr. 11. χειμὼν ἐστὶ cod., χειμών ἐστι ed. pr., χειμών ἐστιν scripsi. Ἡρόδοτος] Herodotus VII, 191, 2. 13. Συνέσιος] Synes. Calvit. encom. c. 17 p. 80 D. 15. Ἀριστοφάνης] Ar. Nub. 907. hunc enim locum lexicographus spectat, non Vesp. 1483. 17. ἤτοι ed. pr., ἤγουν cod. verba ἀντὶ τοῦ et ἐν delenda suspicor.

καὶ χαίρειν ἀντὶ τοῦ φθείρεσθαι. Θεολόγος· τοὺς μὲν τοιούτους λόγους χαίρειν ἐάσατε.

20. χανεῖν πρὸς δέλεαρ ἢ δελέατι ἀντὶ τοῦ καταπιεῖν τὸ δέλεαρ.

Ψ.

1. ψιάθιον οὐδετέρως καὶ ψίαθος θηλυκῶς. Ἀριστοφάνης δὲ ἀρσενικῶς τοὺς ψιάθους λέγει.

2. ψίχες ἀρσενικῶς. Θεολόγος δὲ θηλυκῶς λέγει· ἡ ψὶξ παραδραμοῦσα τὸ φαυλότατον.

3. ψύχω καὶ καταψύχω, ἀποψύχω τὸ ἀποθνήσκω. ψυχῶ καὶ ἐμψυχῶ τὸ ψυχὴν ἐντίθημι.

4. ψευδεγγραφὴ ὄνομα δίκης, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος τῇ σανίδι, ὡς ἀδίκως ἐγγραφέντες τῷ δημοσίῳ. Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα.

---

1. θεολόγος] Greg. Naz. Orat. XL p. 660 A. 5. ψιάθη θηλυκῶς cod., ψίαθος θηλυκῶς scripsi. Ἀριστοφάνης] Ar. Ran. 567: ὃ δ' ᾤχετ' ἐξάξας γε τὰς ψιάθους λαβών. ita libri, sed Scholia: ἐν δὲ τῷ Καλλιστράτῳ γέγραπται τοὺς ψιάθους, καὶ ὅτι σεσημείωται τοῦτο ὅτι ἀρσενικῶς εἶπε. Suidas: ψιάθου θηλυκόν· λέγεται δὲ παρ' Ἀριστοφάνει καὶ ἀρσενικῶς τοὺς ψιάθους. hinc τοὺς ψιάθους recepit in Aristophane Dindorfius, ego τὰς ψιάθους verisimilius duco. 7. 8. eadem fere Suidas v. ψίχες. θεολόγος] Greg. Naz. Orat. XL p. 646 B.
11—14. ex Harpocr. p. 186, 13. cf. Suid. v. ψευδεγγραφή et Anecd. Bekk. p. 317, 7. 11. δίκης] δίκης ἐστίν Harp. γεγραμμένοι] ἐγγεγραμμένοι Harp. 13. τῇ σανίδι] ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ Harp. γραφέντες ed. pr. atque ita primum cod., ubi ἐγγραφέντες m. pr. correctum. 13. 14. Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα] Λυκοῦργος ἐν τῷ κατ' Ἀριστογείτονος καὶ Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα μνημονεύουσι τοῦ ὀνόματος Harp. tam Lycurgi quam Isaei mentionem om. Suidas et Anecd. Bekk. 14. Μέδοντα] Μαίδοντα pr. cod.

5. ψηφίζω ἐπὶ λογισμοῦ. ψηφίζομαι ἀντὶ τοῦ ἀποφαίνομαι. καταψηφίζομαι δέ σου θάνατον.

6. ψυχαγωγὸς ὁ ἀνδραποδιστής. Εὐριπίδης· βάσκανον μέγιστον ψυχαγωγόν. τὸ μέντοι ψυχαγωγεῖσθαι ἐπὶ ἡδονῆς τιθέασιν οἱ Ἀττικοί. [τοῦτο καὶ ἐπὶ ἄλλης τινὸς ἀπολαύσεως εἰώθασι λέγειν οἱ Ἀττικοί.] πολλάκις δὲ τιθέασι καὶ ἐπὶ ἀπάτης καὶ παραλογισμοῦ. Αἰσχίνης· μή τινες ἡμῶν τοῖς ἐπιβουλευομένοις καὶ κακοήθεσι τούτοις ἐψυχαγωγηκόσιν.

7. ψευδομαρτυρίας δίκη ἡ κατὰ τῶν ψευδομαρτύρων ἐπίσκεψις.

8. ψεύδομαι ἀμετάβατον. καὶ ψεύδομαί σε καὶ καταψεύδομαί σου μεταβατικόν.

Ω.

1. ὡς ἀττικῶς ἀντὶ τῆς εἰς προθέσεως. Ἀριστοφάνης· ᾠχόμην ὡς τὸν θεόν. καὶ Λιβάνιος· οἴκαδε ὡς αὐτὸν ἀγαγών. καὶ Προκόπιος· καί σε θᾶττον ὡς ἡμᾶς αὖθις ἐνέγκοι.

---

3. Εὐριπίδης] Eur. Alc. 1128: οὐ ψυχαγωγὸν τόνδ' ἐποιήσω ξένον. hunc locum respici crediderim; quae sequuntur βάσκανον μέγιστον ψυχαγωγόν cuius scriptoris sint verba nescio. 5. 6. verba τοῦτο καὶ — λέγειν οἱ Ἀττικοί, quae in margine codicis addita sunt, ut incommoda hoc loco uncis inclusi. 7. Αἰσχίνης] Aeschines 2, 4: μή τινες ὑμῶν ἀγνοήσωσί με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις. 8. ἐψυχαγωγηκόσιν] ἐ in codice ex αἰ factum est. 9. 10. cf. Pollux VIII, 36: κατὰ μὲν τῶν τὰ ψευδῆ μαρτυρούντων δίκη ψευδομαρτυριῶν, ὃ καὶ ἐπισκήψασθαι ψευδομαρτυριῶν ἐλέγετο. 13. Ἀριστοφάνης] Ar. Plut. 32. 14. ὡς τὸν] πρὸς τὸν Aristophanis Rav. Λιβάνιος] Libanius Decl. vol. 4 p. 67, 22. 15. Προκόπιος] Procopius Gaz. in Cuiacii Epist. Graec. p. 430.

2. ὠνοῦμαι τόδε τὸ πρᾶγμα τῶνδε ἀντὶ τοῦ διὰ τωνδε. καὶ ὠνοῦμαι τῶνδε ἐλλειπτικῶς, μέρος δηλονότι. Ἡρόδοτος· ὠνέεσθαι τῶν φορτίων τῶν σφιν ἦν θυμὸς μάλιστα.

3. ὤκειλεν ἡ ναῦς ἀντὶ τοῦ ἐπλησίασε, κυρίως ὅταν πέτραις ὁ πλησιασμὸς ἐπὶ ἀφανισμῷ γένηται. Θουκυδίδης· καὶ ἐς βράχεα ἀπορίᾳ χωρίων προσώκειλεν.

4. ὤνευον ἀντὶ τοῦ εἰς ὑπηρεσίαν ὄνοις ἐχρῶντο. Θουκυδίδης· ὤνευον ἀναδούμενοι τοὺς σταυρούς.

5. ὡραία ἡ εὔμορφος. καὶ ὡραία ἡ ὥραν ἔχουσα προσήκουσαν. Δίων· θυγάτηρ δὲ ὡραία γάμου διηκονεῖτο.

6. ὤνιον τὸ πρᾶγμα· ὠνὴ ἡ πρᾶσις· ὦνος τὸ εἰς ἀγορὰν διδόμενον.

7. ὤφελον ὤφελες ὤφελε συντάσσεται μετὰ ἀπαρεμφάτου. μὴ ὄφελον νικᾶν. αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι. εἰ δὲ μετ' εὐθείας ἢ αἰτιατικῆς τὸ ἀπαρέμφατον συνταχθῇ, σόλοικον ποιεῖ τὸν λόγον, οἷον ὤφελον εὐεργετήσειν με ὁ βασιλεύς, καὶ ὤφελον συνέβη με ἀποδεδημηκέναι.

8. ὧς δὲ ἀντὶ τοῦ κατὰ τοιοῦτον τὸν τρόπον. Μάξιμος· ὥσπερ γὰρ ἄλλο ἄλλῳ ζῷον ἀλέξημα ἥκει παρὰ τῆς φύσεως εἰς τὸν

---

1. τὸ πρᾶγμα τῶνδε] τὸ πρᾶγμα τόνδε pr. cod. **2.** Ἡρόδοτος] Herodotus I, 1, 4. **5.** Θουκυδίδης] Thuc. II, 91, 4. ἐς βράχεα] vide quae supra diximus p. 35. **6.** ἀπορίᾳ] sic pauci Thuc. libri, plerique ἀπειρίᾳ, ut ipse hic lexicographus B, 18. προσώκειλεν] ὤκειλαν Thuc. et Lex. Vind. supra p. 35, 19. **7. 8.** cf. Suid. v. ὤνευον. **7.** ὤνοις cod., ὄνοις ed. pr. Θουκυδίδης] Thuc. VII, 25, 6. **9.** καὶ ὡραία] καὶ ὡραία γάμου malim. **10.** Δίων] Dio Chrys. Orat. VII, 65 (vol. 1 p. 123, 22 ed. L. Dind.). **11.** πράσις cod., πρᾶσις scripsi. **14.** μὴ ὄφελον (ὤφελον cod.) νικᾶν] Hom. Od. λ, 548. **14. 15.** αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι (ὤφελες ἄγονος τ' ἔμμεναι cod.) ἄγαμός τ' ἀπολέσθαι] Hom. Il. Γ, 40. **17.** με] μοι primum cod. **18.** ὡς δὲ cod., ὧς δὲ scripsi. Μάξιμος] Maximus Tyr. XXVI, 6 vol. 2 p. 23. **19.** ζῷον] ζῴῳ Max. Tyr. ἀλέξημα] ἀλέξιμα pr. cod.

αὐτοῦ βίον, ὑφ' οὗ σώζεται, λέουσιν ἀλκή, ἐλάφοις δρόμος, θήρα κυσί, καὶ τῷ μὲν διερῷ γένει αἱ νήξεις, τῷ δὲ μεταρσίῳ αἱ πτήσεις, τῷ δὲ ἰλυσπωμένῳ οἱ φωλεοί· ὡς δὲ καὶ τοῖς ἀνθρώποις τὰ ἄλλα ἐλαττουμένοις τῶν ἁπάντων, καὶ γὰρ ἀλκὴν ἀσθενέστατοι καὶ ἐλθεῖν βράδιστοι καὶ ἀνίπτασθαι ἀδύνατοι καὶ νήχειν ἀσθενεῖς καὶ φωλεύειν ἀμήχανοι, λόγον αὐτοῖς θεὸς ἔδωκεν. καὶ ὁ θεολόγος· ὡς δὲ καὶ οὗτοι περὶ ὧν ὁ λόγος.

9. ὠρυγὴ ἐπὶ λύκου φωνῆς λέγεται, ὠρυγμὸς ἐπὶ λέοντος.

10. ὡς μὲν ὡς δὲ ἀντὶ τοῦ ὅτι μὲν ὅτι δέ. Κύπριος· ὅτι δὲ σκιάς τινας ὁ ἡμέτερος οὗτος ἥξει κομίζων ἡμῖν καὶ πλέον οὐδέν, ἴσασιν ὅσοι τὴν αὐτοῦ φύσιν ἴσασιν, ὡς μὲν ἀμβλεῖα, ὡς δὲ νωθρά, ὡς παντὸς μᾶλλον τῶν ἔνδοθεν κινουμένων ἀκίνητος.

11. ὡς ἔπος εἰπεῖν ἀντὶ τοῦ ὡς ἐν ὀλίγῳ εἰπεῖν. Ἀριστείδης· οὐ γάρ ἐστι γένος οὐδὲν ὡς ἔπος εἰπεῖν.

12. ὡς τὰ πολλὰ ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πλεῖστον. θεολόγος· ὑφ' ὧν καὶ φιλεῖ ὡς τὰ πολλὰ κλέπτεσθαι ἡ ἀλήθεια.

13. ὡς ἔτι ἀντὶ τοῦ ἕως. θεολόγος· καταγελῶνται δὲ πρὸς τὸ παρόν, ὡς ἔτι ἡ τοῦ θεοῦ χρηστότης κρύπτεται.

14. ὡς κεῖται καὶ εἰς μερισμόν. Θουκυδίδης· καὶ ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι.

---

1. αὐτοῦ] αὑτοῦ Max. Tyr. δρόμος] δρόμοι Max. Tyr. θήρα] θῆραι Max. Tyr. 3. ὡς δὲ cod., ὧς δὲ Max. Tyr. 5. ἐλθεῖν] θεῖν recte Max. Tyr. 6. λόγον] λόγον δὲ Max. Tyr. ὁ θεολόγος] Greg. Naz. Orat. XVI p. 260 C. 7. ὡς δὲ cod., ὧς δὲ scripsi. περιὼν cod., περὶ ὧν Greg. Naz. 10. σκιὰς τινὰς cod. 11. οὐδε.... ἴσασιν ed. pr., οὐδὲν ἴσασιν cod. 13. ἐν ὀλίγῳ] ἐνὶ λόγῳ malim. Ἀριστείδης] Aristides vol. 1 p. 173. idem locus supra A, 98 allatus est. 15. ὡσταπολλὰ ἀντὶ τοῦ ὡσεπιτοπλεῖστον cod. θεολόγος] Greg. Naz. Orat. I p. 2 A. 16. ὡσταπολλὰ κλέπτεσθαι cod., κλέπτεσθαι ὡς τὰ πολλὰ Greg. Naz. 19. Θουκυδίδης] Thuc. I, 67, 4.

15. ὠνάμην καὶ ἀπωνάμην τῶν μαθημάτων.

16. ὡσεὶ ἀντὶ τοῦ καθά. λαμβάνεται δὲ τῇ φράσει καὶ ἀργόν. Κύπριος· σίτου καὶ κριθῆς ἡμᾶς ὡσεὶ χιλίοις τοῖς πᾶσι δωρεῖται βασιλεύς.

---

3. 4. ὡσεὶ χιλίοις τοῖς πᾶσι δωρεῖται] δωρεῖται ὡσεὶ χιλίοις τοῖς πᾶσι μοδίοις supra O, 37 p. 135, 19. 4. ὁ βασιλεύς ed. pr. (cf. O, 37), βασιλεύς cod.

APPENDIX.

PHOTII

IN ROSSORVM INCVRSIONEM

HOMILIA I.

Τί τοῦτο; τίς ἡ χαλεπὴ αὕτη καὶ βαρεῖα πληγὴ καὶ ὀργή; πόθεν ἡμῖν ὁ ὑπερβόρειος οὗτος καὶ φοβερὸς ἐπέσκηψε κεραυνός; ποῖα νέφη παθῶν πυκνωθέντα, τίνων δὲ κριμάτων σφοδραὶ παρατρίψεις τὴν ἀνυπόστατον ταύτην καθ' ἡμῶν ἐξεπυρήνισαν ἀστραπήν; πόθεν ἡ βαρβαρικὴ αὕτη καὶ πυκνὴ καὶ ἀθρόα κατερράγη θάλασσα; οὐ καλάμην σίτου κείρουσα καὶ τὸν στάχυν συμπατάσσουσα οὐδὲ κληματίδας ἀμπέλου μαστίζουσα καὶ τὸν καρπὸν ἄωρον τεμαχίζουσα, οὐδὲ φυτῶν τὰ στελέχη τύπτουσα καὶ τοὺς κλάδους διασχίζουσα, ὃ πολλοῖς πολλάκις μέτρον ἐπλήρωσεν ἐσχάτης

In codice Athoo, quem littera *A* significabimus, haec est homiliae inscriptio: Τοῦ αὐτοῦ ἁγιωτάτου Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ὁμιλία πρώτη εἰς τὴν ἔφοδον τῶν Ῥώς. de accentu Ῥώς cf. Thes. Gr. L. vol. 6 p. 2457. Georg. Hamart. p. 736, 8. Niceph. Greg. vol. 3 p. 113, 14. 513, 21. Nicet. Chon. p. 122, 17. 168, 18. 691, 18. Theophan. cont. p. 196, 6. 342, 20. 423, 15. 20. 826, 18. 914, 10. Tzetz. Epist. p. 74 al. 1. βαρεῖα] sic *A*. βαθεῖα alius quidam codex (v. Fabricii Bibl. Gr. vol. IX p. 564). 4. ἐξεπυρήνισαν ἀστραπήν] similiter ἀστραπῆς ταχυτάτην ἐκπυρήνισιν dixit Eust. Opusc. p. 203, 11. ἀστραπῶν ἐκπυρηνίσματα Nicetas Chon. p. 118, 23. διὰ τοὺς κεραυνοὺς ἢ τοὺς τῶν ἄστρων (l. ἀστραπῶν) ἐκπυρηνισμούς Psellus Opusc. ed. Boiss. p. 136. ἀστραπὰς ἐκπυρηνιζομένας νεφῶν Eust. Od. p. 1858, 61. νεφέλῃ ἐκπυρηνιζούσῃ κεραυνούς Eust. Opusc. p. 237, 85. 9. ὃ πολλοῖς] ὁ πολλοῖς *A*.

κακώσεως, ἀλλ' ἀνθρώπων αὐτῶν οἰκτρῶς τὰ σώματα συναλήθουσα καὶ τὸ γένος ἅπαν πικρῶς ὀλοθρεύουσα. πόθεν ἢ πῶς τῶν τηλικούτων καὶ τοσούτων κακῶν ὁ τρυγίας, ὅ τι μὴ μεῖζον εἰπεῖν, ἐξεχύθη ἐφ' ἡμᾶς; ἆρ' οὐ διὰ τὰς ἁμαρτίας ἡμῶν ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς; οὐκ ἔλεγχος ταῦτα καὶ ἀνάγραπτος θρίαμβος τῶν ἡμετέρων παραπτωμάτων; οὐχὶ δὲ καὶ τεκμηριοῖ τὸ τῶν παρόντων φοβερὸν τὰ τῶν μελλόντων φρικτὰ καὶ ἀδέκαστα δικαιωτήρια; οὐκ ἐλπὶς ἁπάντων ἡμῶν, μᾶλλον δὲ κοινὴ προκειμένη ὄψις, ἵνα μηδὲ τῆς συμφορᾶς τοῖς ἔπειτα πυρφόρος ἐκφύγῃ, μηκέτι μηδένα εἰς τὸ περιεῖναι ἐγκαταλειφθῆναι; ὄντως «ἐλασσονοῦσι φυλὰς ἁμαρτίαι» καὶ ὡς ῥομφαία δίστομος πᾶσι τοῖς χρωμένοις αὐτῇ. ἐρρύσθημεν κακῶν, οἷς πολλάκις συνεσχέθημεν· δέον εὐχαριστεῖν οὐκ εὐγνωμονήσαμεν. ἐσώθημεν, ἠμελήσαμεν· ἐφρουρήθημεν, κατεφρονήσαμεν. ἐφ' οἷς δέος ἦν τιμωρίαν ὑποσχεῖν. ὢ γνώμης ὠμῆς καὶ ἀδιακρίτου, καὶ τί γὰρ οὐχὶ τῶν δυσχερῶν καὶ δεινῶν πάσχειν ἀξίας. τοὺς μικρά τινα καὶ τῶν εὐτελεστάτων ὀφείλοντας ἀποτόμως εἰσεπραξάμεθα, ἐτιμωρησάμεθα, οὐκ ἐμνήσθημεν τῆς εὐχαριστίας, παρελθούσης τῆς εὐεργεσίας, οὐδ' ὅτι συγγνώμης ἐτύχομεν τοὺς πλησίον ᾠκτειρήσαμεν. ἀλλ' ἐν ᾧ τῶν ἐπικρεμασθέντων φόβων καὶ κινδύνων ἀπηλλάγημεν, ἀγριώτεροι τούτοις κατέστημεν, μήτε τὸ πλῆθος καὶ μέγεθος τῶν οἰκείων ὀφλημάτων καὶ τὴν ἐπὶ τούτοις τοῦ σωτῆρος συγχώρησιν λογισάμενοι, μήτε τὴν τῶν ὁμοδούλων ὀφειλὴν βραχυτάτην οὖσαν καὶ μηδὲ ἐν στάθμῃ λόγου ζυγοστατουμένην πρὸς τὰς ἡμετέρας αἰδεσάμενοι. πολλῶν δὲ

---

2. 3. τηλικούτων] τηλικούντων *A*. 6. τεκμήριον *A*, τεκμηριοῖ scripsi. φοβερῶν *A*, φοβερὸν scripsi. 8. μηδὲ] μὴ δὲ *A*. 8. 9. μηδὲ — πυρφόρος ἐκφύγῃ] de proverbio cf. interpr. Zenob. 5, 34.
10. ἐλασσονοῦσι] ἔλασσον οὖσι *A*. emendationem petere licebat e Prov. Sal. 14, 34: δικαιοσύνη ὑψοῖ ἔθνος, ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι.
11. καὶ ὡς ῥομφαία δίστομος] ante haec verba non nihil excidisse videtur. 19. ἐτύχομεν] ἐτύχωμεν *A*. ᾠκτειρήσαμεν] exempla istius aoristi collegit Lobeckius in Phryn. p. 741. nihilo minus ᾠκτείραμεν praetulerim. 23. μηδὲ] μὴ δὲ *A*.

καὶ μεγάλων φιλανϑρώπως ἐλευϑερωϑέντες, ὀλίγων ἄλλους καὶ ἀφιλανϑρώπως ἐδουλώσαμεν. εὐφράνϑημεν, ἐλυπήσαμεν· ἐδοξάσϑημεν, ἠτιμώσαμεν· ἰσχύσαμεν, εὐϑηνήσαμεν, ἐξυβρίσαμεν, ἠφρονευσάμεϑα. ἐλιπάνϑημεν, ἐπαχύνϑημεν, ἐπλατύνϑημεν, καὶ εἰ μὴ τὸν ϑεὸν ὡς ὁ πάλαι Ἰακὼβ ἐγκατελίπομεν, ἀλλ' ὡς ὁ ἠγαπημένος πλησϑέντες ἀπελακτίσαμεν καὶ «ὡς δάμαλις παροιστρῶσα» τῶν τοῦ κυρίου προσταγμάτων παροιστρήσαμεν καὶ τῶν δικαιωμάτων αὐτοῦ κατωλιγωρήσαμεν. διὰ τοῦτο «φωνὴ πολέμου καὶ συντριβὴ πολέμου ἐν τῇ γῇ» ἡμῶν. διὰ τοῦτο «ἤνοιξε κύριος τὸν ϑησαυρὸν αὐτοῦ καὶ ἐξήνεγκε τὰ σκεύη τῆς ὀργῆς αὐτοῦ». διὰ τοῦτο «λαὸς ἐξεῖρψεν ἀπὸ βορρᾶ» ὡς εἰς ἄλλην ἐπελαύνων Ἱερουσαλὴμ καὶ «ἔϑνη ἐξηγέρϑη ἀπ' ἐσχάτου τῆς γῆς, τόξον καὶ ζιβύνην κρατοῦντες. ἰταμός ἐστι καὶ οὐκ ἐλεεῖ· φωνὴ αὐτοῦ ὡς ϑάλασσα κυμαίνουσα». «ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν», μᾶλλον δὲ ἀϑρόαν εἴδομεν τὴν ὄψιν αὐτῶν, καὶ «παρελύϑησαν αἱ χεῖρες ἡμῶν. ϑλῖψις κατέσχεν ἡμᾶς καὶ ὠδῖνες ὡς τικτούσης. μὴ ἐκπορεύεσϑε εἰς ἀγρὸν καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία παροικεῖ κυκλόϑεν». «τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι», Ἱερεμίας σὺν ἐμοὶ κεκράξεται σήμερον, πόλις βασιλίς; «τίς σώσει σε καὶ παρακαλέσει σε, ὅτι ἐμεγαλύνϑη ποτήριον συντριβῆς σου; τίς ἰάσεταί σε;» νῦν κλαίετε· μικροῦ κἀμὲ τὸ πάϑος ἐβύϑισε καὶ τοῦ λέγειν

---

6. ὡς δάμαλις παροιστρῶσα] Hos. 4, 16: ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ. **8.** διὰ τοῦτο] διατοῦτο *A*. **8. 9.** φωνὴ πολέμου — γῇ] Ierem. 27, 22: φωνὴ πολέμου καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων. **9.** διὰ τοῦτο] διατοῦτο *A*. **9. 10.** ἤνοιξε κύριος — τῆς ὀργῆς αὐτοῦ] Ierem. 27, 25. ubi τῆς omittitur. **10.** διὰ τοῦτο] διατοῦτο *A*. **11 — 14.** cf. Ierem. 6, 22. 23: ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βορρᾶ, καὶ ἔϑνη ἐξεγερϑήσονται ἀπ' ἐσχάτου τῆς γῆς, τόξον καὶ ζιβύνην κρατήσουσιν. ἰταμός ἐστι καὶ οὐκ ἐλεήσει· φωνὴ αὐτοῦ ὡς ϑάλασσα κυμαίνουσα. **14 — 18.** cf. Ierem. 6, 24. 25: ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν, παρελύϑησαν αἱ χεῖρες ἡμῶν, ϑλῖψις κατέσχεν ἡμᾶς, ὠδῖνες ὡς τικτούσης. μὴ ἐκπορεύεσϑε εἰς ἀγρὸν καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχϑρῶν παροικεῖ κυκλόϑεν. **15. 16.** ϑλῖψις] ϑλίψις *A*.

18 — 21. cf. Thren. 2, 13: τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι,

ἀνέκοψεν. ἀλλὰ τί βοᾶτε πρός με, τί δὲ ὀδύρεσϑε; ἀκούσατέ μου. στήσατε μικρὸν τὸν κλαυϑμὸν καὶ δότε τοῖς λόγοις πάροδον. δακρύω μὲν γὰρ κἀγὼ σὺν ὑμῖν· ἀλλ᾽ οὔτε τὴν ἐν χρόνῳ ἀναρριπισϑεῖσαν φλόγα μικραὶ ῥανίδες σβεννύουσι· τί γὰρ δεῖ λέγειν ὡς πλέον ἀνάπτουσιν; οὔτε τὸν ἐκκαυϑέντα ὑπὸ τῶν ἡμετέρων ἁμαρτημάτων ϑυμὸν τοῦ ϑεοῦ πρόσκαιρον δάκρυον ἰσχύει ἐξιλεώσασϑαι. δακρύω κἀγὼ σὺν ὑμῖν· ἀλλὰ πολλῶν ταλαιπωρουμένων παρείδομεν δάκρυα· παρατρέχω γὰρ ὡς καὶ ἐκενώσαμεν. δακρύω κἀγὼ σὺν ὑμῖν, εἴπερ ἐστὶ δακρύων καιρὸς ὁ παρὼν καιρός. ἀλλὰ μὴ πολλῷ μείζων τῆς τῶν δακρύων φορᾶς ἡ καταλαβοῦσα συμφορά. εἰσὶ γάρ, εἰσὶν ὄντως μείζους δακρύων πολλαὶ συμφοραί, ἐν αἷς τῶν ἔνδον ὑπὸ τοῦ στηριχϑέντος διαφυλαχϑέντων ἢ καὶ σφόδρα γε συσταλέντων τε καὶ συμμεμυκότων οὐδὲ ἡ διὰ τῶν ὀμμάτων προχεομένη πολλάκις καταλείπεται νοτίς. οὐχ ὁρῶ δὲ νῦν οὐδὲ τῶν δακρυόντων τὸ κέρδος. ὅτε γὰρ πρὸ τῶν ἡμετέρων ὀμμάτων τὰ τῶν ἐχϑρῶν ξίφη τοῖς τῶν ὁμοφύλων βαπτίζεται αἵμασιν, ἡμεῖς δὲ τοῦτο καϑορῶντες ἐπικουρεῖν δέον τοῦτο μὲν ἀπορίᾳ τοῦ πράττειν οὐκ ἀναδεχόμεϑα, εἰς δάκρυα δὲ καταφερόμεϑα, ποταπὴ τοῖς ἀτυχοῦσι παράκλησις ἐπιγίνεται; μείζους ἂν ποταμοὺς τὰ ἀπὸ τῶν διαιρεϑέντων σωμάτων ἐκίνησεν αἵματα ἢ τὰ ἀπὸ τῶν ἡμετέρων βλεφάρων ἀναδιδόμενα δάκρυα. ἀλλ᾽ ὅτε ταῖς ἐκεῖϑεν καταφερομέναις τῶν λύϑρων ῥοαῖς ὁ τῶν πλημμελημάτων οὐκ ἀποσμήχεται μολυσμός, ἤπου γε τὰ τῶν ὀμμάτων ῥεῖϑρα τοῦτον ἐκπλῦναι δυνηϑήσεται. οὐ νῦν ἔδει κλαίειν, ἀγαπητοί, ἀλλὰ τὴν ἁμαρτίαν μισεῖν ἀπ᾽ ἀρχῆς· οὐ νῦν πενϑεῖν, ἀλλὰ τὰς δι᾽ ὧν ἡμῖν τὸ πένϑος ἐξέφυ πάλαι φεύγειν

ϑύγατερ Ἱερουσαλήμ; τίς σώσει καὶ παρακαλέσει σε, παρϑένος ϑύγατερ Σιών; ὅτι ἐμεγαλύνϑη ποτήριον συντριβῆς σου, τίς ἰάσεταί σε;

7. παρείδομεν] παρίδομεν *A*. **8.** ἐκενώσαμεν corruptum videtur. **9.** ὑμῖν] ἡμῖν *A*. εἴπερ ἐστὶ] εἴπέρ ἐστι *A*. **10.** ἡ καταλαβοῦσα] ἢ ἡ καταλαβοῦσα ἡμᾶς malim. **12.** διαφυλαχϑέντων non potest intellegi; διαφλεχϑέντων temptabam. **14.** δακρυόντων] δακρύων malim. **22.** ἀποσμήχεται μολυσμός] ἀποσμίχεται μολισμός *A*. **23.** ἐκπλῦναι] ἐκπλύναι *A*. **24.** ἀπ᾽ ἀρχῆς] ἀπαρχῆς *A*.

ἡδονάς. ἴσον γάρ ἐστι δεσπόταις καταδουλωθέντα πικροῖς τὴν ἀπὸ τῶν μαστίγων βάσανον μὴ βούλεσθαι καρτερεῖν καὶ πράξεσιν ἑαυτοὺς ἐκδεδωκότας πονηραῖς τὰς ἀπὸ τῆς δικαιοκρισίας τοῦ θεοῦ ἐπαφιεμένας ἡμῖν παραιτεῖσθαι ποινάς. οὐ νῦν ἐχρῆν ὀλοφύρεσθαι, ἀλλὰ διὰ βίου σωφρονεῖν· οὐ νῦν τὸν πλοῦτον σκορπίζειν, ὅτε μηδ' αὐτὸς οἶδας εἰ τούτου κύριος ἔτι καταστήσῃ, ἀλλὰ πάλαι τῶν ἀλλοτρίων ἀπέχεσθαι, ὅτε ἡ παροῦσα θραῦσις οὔπω ἐστήρικτο καθ' ἡμῶν· οὐ νῦν τὸν ἔλεον ἐμπορεύεσθαι, ὅτε ἡ τοῦ βίου πανήγυρις ἐν ἐλπίδι κεῖται τοῖς ἐνεστηκόσι λυθῆναι κακοῖς, ἀλλ' ἐν ᾧ τοῦ δύνασθαι ἡ ἐξουσία περιῆν, μηδέποτε ἀδικεῖν· οὐ νῦν παννυχίζειν καὶ λιταῖς προστρέχειν καὶ στήθη τύπτειν καὶ βαθὺ στενάζειν καὶ χεῖρας ἐπαίρειν καὶ γόνατα κάμπτειν καὶ γοερὰ δακρύειν καὶ στυγνὸν προσβλέπειν, ὅτε τοῦ θανάτου τὰ κέντρα ἠκονημένα ἥκει καθ' ἡμῶν. πάλαι ταῦτα προσῆκε ποιεῖν, πάλαι σχολάζειν τοῖς ἀγαθοῖς ἔργοις, πάλαι μετανοεῖν ἐπὶ τοῖς κακοῖς. ἐν ᾧ γὰρ ταῦτα πράττομεν νυνὶ παρά γε δικαίῳ μάλιστα κριτῇ καὶ μὴ παρὰ πολὺ τὴν γνώμην πρὸς τὴν συγγνώμην ἐπιρρεπῶς ἔχοντι, οὐκ εἰς ἔλεον οἶμαι κινοῦμεν τὸν θεόν, ἀλλὰ τῶν ὑπηργμένων ἡμῖν ἁμαρτημάτων κατήγοροι καθιστάμεθα πικροί. οἱ γὰρ οὕτω τινὲς σωφρόνως καὶ θεοφιλῶς ἐπιστάμενοί τε καὶ κατ-

---

1. ἴσον] ἶσον *A.* 3. ταῖς ἀπὸ *A*, τὰς ἀπὸ scripsi. 5. μηδ'] μὴ δ' *A.* 8. τὸν ἔλεον ἐμπορεύεσθαι] hoc est *lucri causa misericordem se praebere* sive *misericordiam cauponari.* 8. 9. ἡ τοῦ βίου πανήγυρις] sic Men. Com. 4 p. 211: πανήγυριν νόμισόν τιν' εἶναι τὸν χρόνον, ὃν φημί (scripserim τὸν βίον, Ὀνήσιμε), τοῦτον ἢ ἐπιδημίαν. Men. monost. 444 sive Greg. Naz. vol. 2 p. 156 D: πανήγυριν νόμιζε τόνδε τὸν βίον. Diog. L. VIII, 8: τὸν βίον ἐοικέναι πανηγύρει. Longin. de subl. 35, 2: ἡ φύσις τὸν ἄνθρωπον ὡς εἰς μεγάλην τινὰ πανήγυριν εἰς τὸν βίον καὶ τὸν σύμπαντα κόσμον ἐπάγουσα (l. εἰσάγουσα). Clem. Alex. Strom. VII p. 860: ἅπας δὲ ὁ βίος αὐτοῦ πανήγυρις ἁγία.
14. προσήκει *A*, προσῆκε scripsi. 15. τοῖς ἔργοις ἀγαθοῖς *A*, τοῖς ἀγαθοῖς ἔργοις scripsi. 17. παρὰ πολὺ] παραπολὺ *A.* 17. 18. ἐπιρρεπῶς] ἐπιρεπῶς *A.* 20. τινὲς vitiosum arbitror.

ισχύοντες ἐμβιοῦν, εἶτα πρὶν ἢ τῶν κακῶν ἐπιδημίοις ἡ φορὰ μηδὲν εἰς ἀρετῆς καὶ σωτηρίας λόγον πραξάμενοι, ἀλλ' ἀμελῶς οὕτω καὶ ῥᾳθύμως τὰς ἑαυτῶν ψυχὰς τοῖς πάθεσι κηλιδώσαντες, πῶς οὐκ αὐτοκατακρίτους εἰσάγουσιν ἑαυτούς; τί γὰρ νῦν πενθῶν οὐ πρότερον ἐξίστασο γελώτων μὲν ἀκρατῶν, ᾀσμάτων δὲ πορνικῶν καὶ ἀθυρμάτων θυμελικῶν; τί δὲ σκυθρωπάζων νυνὶ τὰς ὀφρῦς συνῆγες καὶ τὰς παρειὰς ἐξῆρες, τὸ πρόσωπον τυραννίδος δεικνύων μεστόν; τί δ' ἐλεῶν τοὺς ἠδικημένους καὶ συμπαθεῖν σεμνυνόμενος λοιμὸς αὐτὸς τοῖς παρατυχοῦσιν ἐνέπιπτες ἀπροσδοκήτως καὶ λόγῳ ἑνί; τί νῦν πᾶσι καὶ πάντα χρηστὸς ὢν οὐδενὶ παρεῖχες πρότερον μέτριον σαυτόν, ἀλλὰ χειρῶν μὲν ἄρχων ἀδίκων ἐμεγαλοφρόνεις, ἀμύνασθαι δὲ τὸν ὑπονοηθέντα εἰ μὴ διεπράξω, οὐδὲ βιωτὸν τὸν βίον ἐνόμιζες; καὶ πένης μὲν πρὸ πυλῶν λιμώττων διέρριπτο βδέλυγμα, οἱ δὲ πρὸς γέλωτα εὐδοκιμοῦντες τῆς σῆς ἐμπιπλάμενοι τραπέζης καὶ περιουσίας οὐδὲν ἧττον ἐνετρύφων καὶ τῆς εὐηθείας, καὶ φίλων μὲν στοργὴν μικροῦ παρέβλεπες λήμματος, συγγενείας δὲ φύσιν διέπτυες καὶ δεσμοὺς βοηθείας ἐρρήγνυες, ἐρινυώδης τις ὥσπερ εἶναι φιλονεικῶν καὶ μισάνθρωπος ἄνθρωπος. πολλοῦ γε δὴ δέω καταλέγειν κλοπάς τε καὶ ἁρπαγὰς πορνείας τε καὶ μοιχείας καὶ τὰς ἄλλας ἀρρητοποιίας, τὰ μεγάλα καὶ πολυαρκῆ ταυτησὶ τῆς ἐκπυρσευθείσης ἡμῖν καὶ περιχυθείσης φλογὸς ὑπεκκαύματα. οἶδα ὅτι ταῦτα νυνὶ καὶ ὑμεῖς ἀναλογιζόμενοι πενθεῖτε καὶ σκυθρωπάζετε· ἀλλ' ὀξὺς μὲν ὁ καιρός, ἀδέκαστος δὲ ὁ κριτής, ἡ δ' ἀπειλὴ φοβερά, τὸ δὲ πλῆθος τῶν ἡμαρτημένων πολύ, καὶ οὐκ ἐξαρκοῦσα ἡ μετάνοια. ἐγὼ πολλάκις ὑμῶν τοῖς ὠσὶ τοὺς παραινετικοὺς κατέσπειρα λόγους, τοὺς ἀπειλητικούς· ἀλλ' ὡς ἔοικεν εἰς ἀκάνθας ἐξέφυσαν. ἐδυσώπησα, ἐπέπληξα· πολλάκις ὑμῖν τὴν τῶν Σοδομιτῶν ὑπέδειξα τέφραν καὶ τὸν πρὸ ταύτης κατακλυσμόν, ἡνίκα

---

1. ἐπιδημίοις ἡ φορὰ] ἐπιδημήσῃ φορὰ scripserim. 5. γελώντων *A*, γελώτων scripsi. 17. τις] τίς *A*. 18. φιλονεικῶν] φιλονικῶν malim. δεῖ *A*, δὴ scripsi. 22. ὑμεῖς] ἡμεῖς *A*. 27. ἐξέφυσαν parum aptum videtur.

τοῖς ὕδασιν ἐπικαταρρύτου γεγενημένης τῆς γῆς ὁ τοῦ ἀνϑρωπείου γένους συνετελέσϑη παγκόσμιος ὄλεϑρος. πολλάκις τὸν Ἰσραηλίτην παρέστησα λαόν, τὸν περιούσιον, τὸν ἠγαπημένον, τὸ βασίλειον ἱεράτευμα, διὰ γογγυσμόν, δι᾽ ἀντιλογίαν, δι᾽ ἀχαριστίαν, διὰ παραπλήσιον πλημμέλημα μαστιζόμενον, ταπεινούμενον ὑπὸ τῶν ἡττωμένων ἐχϑρῶν καὶ καϑ᾽ ὧν αὐτὸς ἐτροπαιοφόρει ἐλασσούμενον, πίπτοντα, διολλύμενον. πολλάκις ὑμῖν ὑπετιϑέμην· φυλάξασϑε, διορϑώϑητε, ἐπιστράφητε, μὴ ἀναμείνητε στιλβωϑῆναι τὴν ῥομφαίαν· τὸ τόξον ἐντείνεται· μὴ τὴν μακροϑυμίαν ἀφορμὴν καταφρονήσεως λάβετε, μὴ κατὰ τῆς χρηστότητος πονηρεύησϑε. ἀλλὰ πῶς ὑμῶν τὰς καρδίας ἤδη φλεγμαινούσας ἐπιξέσω; κρεῖττον νῦν ἀλγυνομένους ἐπιπλῆξαι ἢ ἐκεῖϑεν ἀνεπιτιμήτους δίκας ὑφέξοντας παραπέμψαι, καὶ τὴν παροῦσαν συμφορὰν τοῦ πρὸς ὑμᾶς ἐλέγχου συνεργὸν προσλαβεῖν ἢ διευλαβηϑέντα τὸ πάϑος, ἀνεξέλεγκτον καταλιπεῖν τὸ ἀπειϑῆσαν καὶ ἡμαρτηκός. τί οὖν ἐνουϑετήσαμεν; ἠπειλήσαμεν ϑεὸν λέγοντες· ὁ ϑεὸς ἡμῶν ζηλωτής· μακρόϑυμος, ἀλλ᾽ ἐὰν ὀργισϑῇ, τίς ὑποστήσεται; ταῦτα ἔλεγον· ἀλλ᾽ ὡς ἔοικεν εἰς πῦρ ἔξαινον· τοῦτο γάρ μοι τὸ νῦν εἶναι, ὡς εἴϑε μὴ ὤφελεν, παροιμιάσασϑαι καίριον· οὐ γὰρ ἐπεστράφητε οὐδὲ μετενοήσατε, ἀλλ᾽ ἐβαρύνατε τὰ ὦτα τοῦ μὴ εἰσακούειν λόγον κυρίου. διὰ τοῦτο ἐξεχύϑη ἐφ᾽ ἡμᾶς ὁ ϑυμὸς αὐτοῦ καὶ ἐγρηγόρησεν ἐν ταῖς ἁμαρτίαις ἡμῶν καὶ τὸ πρόσωπον αὐτοῦ ἐστήριξεν ἐφ᾽ ἡμᾶς. «οἴμοι ὅτι ἐμακρύνϑη ἡ παροικία μου», καὶ μὴ μακρᾶς οὔσης μετὰ τοῦ ψαλμῳδοῦ βοήσομαι Δαυίδ, ἐμακρύνϑη· ὅτι οὐκ εἰσηκούσϑην παρακαλῶν, ὅτι νέφος βαρβάρων ὁρῶ τοῖς πταίσμασι καταξηρανϑεῖσαν τὴν πόλιν ἡμῶν τοῖς αἵμασιν

---

5. 6. ἡττωμένων] ἡττομένων *A*. 10. λάβετε] λάβητε malim. πονηρεύησϑε] πονηρεύσησϑε scripserim. 11. ἢ κρεῖττον *A*, ἢ delevi. 12. δίψας *A*, δίκας scripsi. 17. εἰς πῦρ ἔξαινον] cf. Paroemiogr. Gott. vol. 1 p. 130. vol. 2 p. 27 sq. 19. οὐδὲ μετενοήσατε] οὐδ᾽ ἐμετενοήσατε *A*. 20. διὰ τοῦτο] διατοῦτο *A*. 22. 23. οἴμοι — μου] Psalm. 119, 5: οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνϑη. 25. ὁρᾷ *A*, ὁρῶ scripsi.

ἐπικλύζοντας. οἴμοι ὅτι ἐπὶ τούτοις ἐφυλαττόμην τοῖς κακοῖς ἐγώ, ὅτι «ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν», ὅτι βαρβάρων ἄπιστος δρόμος οὐκ ἔδωκε τῇ φήμῃ καιρὸν ἀγγελίας, ὡς ἄν τις ἀσφάλεια περινοηθείη, ἀλλὰ σύνδρομον ἔσχεν ἡ θέα τὴν ἀκοὴν καὶ τὸ πεπονθέναι, χώραις πόσαις ἐθναρχίαις τε καὶ ποταμοῖς ναυσιπόροις καὶ ἀλιμένοις πελάγεσι τῶν ἐπελασάντων διειργομένων. οἴμοι ὅτι ἔθνος ὠμὸν καὶ ἀνήμερον ἐπ' ἀδείας ὁρῶ τῆς πόλεως περιχεόμενον καὶ τὰ πρὸ τῆς πόλεως ληιζόμενον, πάντα φθεῖρον, πάντα λυμαινόμενον, ἀγροὺς οἰκίας, βοσκήματα ὑποζύγια, γύναια παιδάρια, πρεσβύτας νεανίας· διὰ πάντων τὸ ξίφος ὠθούμενον, οὐδενὸς λαμβάνον οἶκτον, οὐδενὸς φειδόμενον. παγγενὴς ἡ καταφθορά, ὡς ἀκρὶς ἐν ληίῳ καὶ ὡς ἐρυσίβη ἐν ἀμπελῶνι, μᾶλλον δὲ ὡς πρηστὴρ ἢ τυφὼν ἢ χειμάρρους ἢ οὐκ οἶδ' ὅ τι εἴπω, εἰς τὴν χώραν ἡμῶν εἰσπεσὸν αὐταῖς γενεαῖς τοὺς κατοικοῦντας ἀνάλωσεν. μακαρίζω τοὺς τῆς παλαμναίας καὶ βαρβάρου χειρὸς ἔργον γεγονότας, ὅτι τεθνηκότες θᾶσσον διέφυγον τὴν συναίσθησιν τῶν κατασχόντων ἡμᾶς ἀνελπίστων συμφορῶν. εἰ δὲ αἴσθησις ἦν αὐτοῖς τούτων ἀποιχομένοις, ἐθρήνησαν ἂν κἀκεῖνοι σὺν ἐμοὶ τοὺς ἔτι περιόντας ὧν τε διὰ παντὸς πάσχουσι καὶ οἵων ἀλγεινῶν ἀναπλησθέντες οὐκ ἀπαλλάσσονται καὶ ἐν ᾧ ζητοῦντες τὸν θάνατον οὐχ εὑρίσκουσι. πολλῷ γὰρ αἱρετώτερον ἅπαξ θανεῖν τοῦ διὰ παντὸς ἐλπίζειν θανεῖν καὶ τοῖς τῶν πλησίον πάθεσι συνεχῶς ἀλγεῖν καὶ σπαράσσεσθαι τὴν ψυχήν. ποῦ νῦν βασιλεὺς ὁ φιλόχριστος; ποῦ τὰ στρατόπεδα; ποῦ τὰ ὅπλα, τὰ μηχανήματα, αἱ στρατηγικαὶ βουλαί τε καὶ παρασκευαί; οὐ βαρβάρων ἄλλων ἔφοδος ἐφ' ἑαυτὴν ταῦτα πάντα μετέστησέ τε καὶ μεθειλκύσατο; καὶ βασιλεὺς μὲν ὑπερορίους πόνους

---

2. 3. ἐγενήθημεν — κύκλῳ ἡμῶν] Psalm. 78, 4. **5.** τό τε πόθεν καὶ *A*, τὸ πεπονθέναι scripsi. **13.** τυφὼν] de accentu cf. Thes. Gr. L. vol. 7 p. 2623 B. **18.** ἡ δὲ αἴσθησις *A*, εἰ δὲ αἴσθησις scripsi. **19.** κἀκεῖνοι] κᾀκεῖνοι *A*, qui iota subscriptum plerumque omittit. **19. 20.** διὰ παντὸς] διαπαντὸς *A*. **22.** διὰ παντὸς] διαπαντὸς *A*.

καὶ μακροὺς ἀναντλεῖ, συναπῆρε δὲ καὶ συνταλαιπωρεῖ τὸ στρατιωτικόν, ἡμᾶς δὲ ὁ κατ' ὀφθαλμοὺς ὄλεθρος καὶ φόνος δαπανᾷ, τοῖς μὲν ἐπελθών, τοῖς δὲ ἤδη ἐπερχόμενος. τὸ δὲ Σκυθικὸν τοῦτο καὶ ὠμὸν ἔθνος καὶ βάρβαρον ἐξ αὐτῶν τῶν τῆς πόλεως ἐξερπύσαν προπυλαίων μονιοῦ δίκην ἀγρίου τὰ πέριξ αὐτῆς κατενεμήσατο. τίς οὖν ἡμῶν προπολεμήσει, τίς ἀντιπαρατάξεται τοῖς ἐχθροῖς; πάντων ἡμεῖς ἔρημοι, πανταχόθεν ἐξηπορημένοι. τίς ἐξισωθείη θρῆνος ταῖς συμφοραῖς; ποῖον ἐξισχύσει δάκρυον ἐπαρκέσαι πρὸς τὸ μέγεθος τῶν περιστοιχισαμένων ἡμᾶς δυσχερῶν; δεῦρό μοι τῶν προφητῶν συμπαθέστατε, συνθρήνησον τὴν Ἱερουσαλήμ, οὐ τὴν παλαιὰν ἐκείνην, ἔθνους ἑνὸς ἐκ μιᾶς ῥίζης δώδεκα στελέχη βλαστήσαντος τὴν μητρόπολιν, ἀλλὰ συμπάσης τῆς οἰκουμένης ὁπόσην ὁ Χριστιανῶν λαμπρύνει θεσμός, τὴν χρόνῳ καὶ κάλλει καὶ μεγέθει καὶ λαμπρότητι πολυπληθείᾳ τε τῶν ἐνοικούντων καὶ πο-

---

1. ἀναντλεῖ scripsi, ἀνατλᾷ *A.* barbaram istam formam nunquam adducar ut Photio tribuam. quamquam Tzetzes Chil. 9, 133 τλῶσα καὶ ὑπουργοῦσα dixisse videtur. suspectus etiam aoristus ἔτλησα, cuius exempla quae mihi innotuerunt fide carent ad unum omnia. in oraculo Lactantii IV, 3, 11 editur πικρὴν ἀνέτλησε τελευτήν: scribendum erit ἀνέπλησε. similiter Lucianus q. d. de luctu c. 16 vol. 2 p. 928 non πολλὰς τριακάδας καὶ ὀλυμπιάδας ἀνατλήσας, sed ἀναπλήσας dixisse putandus est. eadem medela indiget Phlego Trall. ed. Westerm. p. 200, 13: Ἱερώνυμος δὲ ὁ συγγαφεὺς πολλοὺς μὲν χρόνους ἐν ταῖς στρατείαις ἀνατλήσας, πλείστοις δὲ τραύμασιν ἐν πολέμοις περιπεσών. in Maximi περὶ καταρχῶν v. 557: ἦ γὰρ ἀνατλήσειεν ἀεικέλιον βροτὸς ἄλγος, dudum Lobeckius Paral. p. 172 sq. ἀναπλήσειεν suasit, quod recepit Koechly. Heraclitum de incredib. c. 21 in Westerm. Mythogr. p. 317, 5 non διατλήσας sed διαθλήσας scripsisse G. Dindorfius in Thes. Gr. L. vol. 2 p. 1351 A probabiliter coniecit. in Diog. L. IX, 4 διατλήσας dudum cessit genuinae lectioni διαντλήσας. denique in Christ. pat. 22 et praef. 20 pro τλῆσαι e codice B τλῆναι revocandum erat. 7. τίς] τίς ἂν malim. 9. περιστοιχισαμένων] περιστοιχησαμένων *A.* de similibus erroribus vide Thes. Gr. L. vol. 6 p. 942 C.

λυτελείᾳ δεσπόζουσαν. συνϑρήνησόν μοι ταύτην τὴν Ἱερουσαλὴμ, οὐχ ἁλοῦσαν ἤδη καὶ χαμαὶ πεσοῦσαν, ἀλλ᾽ ἐγγὺς κειμένην τοῦ ἁλῶναι καὶ τοῖς δρωμένοις κατασειομένην. συνϑρήνησον τὴν βασιλίδα τῶν πόλεων, οὐκ αἰχμάλωτον ἀγομένην, ἀλλὰ τῆς σωτηρίας ἐλπίδας ᾐχμαλωτισμένην. ζήτησον ὕδωρ τῇ κεφαλῇ καὶ πηγὰς δακρύων τοῖς ὀφϑαλμοῖς καὶ συμπένϑησον. καὶ πένϑησον ἐπ᾽ αὐτῇ, ὅτι «κλαίουσα ἔκλαυσεν ἐν νυκτί, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτήν». ὅτι «ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλὴμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο», καὶ οἱ τεϑνηπότες αὐτῆς τὴν ἰσχὺν ἐξεμυκτήρισαν αὐτήν, ὅτι ἐξαπέστειλε κύριος πῦρ ἐν τοῖς ὀστέοις αὐτῆς καὶ ἐβάρυνε τὸν ζυγὸν αὐτοῦ ἐπὶ τὸν τράχηλον ἡμῶν καὶ «ἔδωκεν ἐν χερσὶν ἡμῶν ὀδύνας», ἃς οὐ δυνησόμεϑα ὑποστῆναι. συνϑρήνησον ὅτι ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφϑαλμοί μου. «ἡ κοιλία μου ἐταράχϑη, καὶ ἐστράφη ἡ καρδία μου ἐν ἐμοί, ὅτι παραπικραίνουσα παρεπίκρανα. ἔξωϑεν ἠτέκνωσέ με μάχαιρα» καὶ «διήνοιξεν ἐπ᾽ ἐμὲ ὁ ἐχϑρὸς στόμα αὐτοῦ καὶ ἔβρυξεν ὀδόντας καὶ εἶπε, καταπίομαι αὐτήν». ὦ πόλις βασιλίς, οἵων κακῶν περικέχυται ὄχλος, καὶ τὰ σὰ τῆς κοιλίας ἔγγονα καὶ τὰ πρὸ τοῦ ἄστεος, ἃ λαμπρῶς ἐπεπόλιστο, λαγόνες ϑαλάσσης καὶ πυρὸς καὶ μαχαίρας στόμα βαρβαρικῷ νόμῳ διακληρωσάμενα κατεσϑίουσιν. ὦ πολλῶν ἐλπὶς ἀγαϑή, ὅση χαλεπῶν ἀπειλὴ καὶ δειμάτων πλῆϑος περικλύσαν τὰ κύκλῳ τὴν σὴν περιβόητον ἐταπείνωσεν δόξαν. ὦ πόλις βασιλεύουσα μικροῦ συμπάσης τῆς οἰκουμένης, οἷός σε στρατὸς ἀστρατήγητος καὶ δουλικῶς ἐνεσκευασμένος

---

7. 8. κλαίουσα — αὐτήν] Thren. 1, 2. **9.** ἁμαρτία *A*, ἁμαρτίαν scripsi e Thren. 1, 8. διὰ τοῦτο] διατοῦτο *A*. **10. 11.** ἐξαπέστειλε — αὐτῆς] cf. Thren. 1, 13: ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ, ἐν τοῖς ὀστέοις μου κατήγαγεν αὐτό. **12.** ἔδωκεν — ὀδύνας] cf. Thren. 1, 14: ἔδωκε κύριος ἐν χερσί μου ὀδύνας. **14 — 16.** ἡ κοιλία — μάχαιρα] Thren. 1, 20. **16. 17.** διήνοιξεν — αὐτήν] cf. Thren. 2, 16: διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχϑροί σου, ἐσύρισαν καὶ ἔβρυξαν ὀδόντας, καὶ εἶπαν, καταπίωμεν (male κατεπίομεν ed. Tischendorfius) αὐτήν. **19.** ἃ addidi.

ὡς δουλεύουσαν ἐκμυκτηρίζει. ὦ πόλις πολλῶν ἐθνῶν λαφύροις ἐκλαμπρυνθεῖσα, οἷον λαφυραγωγεῖν σε διενοήσατο ἔθνος. ὦ πολλὰ στησαμένη κατὰ τῶν πολεμίων Εὐρώπης τε καὶ Ἀσίας καὶ Λιβύης τρόπαια, ὅπως νῦν ἐπὶ σὲ βαρβαρικὴ καὶ ταπεινὴ χεὶρ ἐξέτεινε δόρυ, τὸ κατὰ σοῦ κράτος ἐπαρθεῖσα τροπαιοφορῆσαι. ἐπὶ τοσοῦτον γὰρ κακώσεως πάντα σοι ἥκει, ὥστε καὶ τὴν ἀπροσμάχητόν σου ῥώμην εἰς τρύγα ἐλάσαι βαθυτάτης ἀρρωστίας καὶ τὸ ἀρρωστοῦν καὶ τεταπεινωμένον τῶν ἀντιπάλων φιλάνθρωπον ὄμμα χειρὸς ἰσχὺν ἐν σοὶ ἀποφαίνειν καὶ δόξης ὀνόματι πειρᾶσθαι διακοσμηθῆναι. ὦ βασιλὶς πόλεων βασιλίδων, πολλὰς μὲν συμμαχίαις ἐξαρπάσασα κινδύνων, πολλὰς δὲ ἐπὶ γόνυ κλιθείσας ἀνορθώσασα τοῖς ὅπλοις, εἰς προνομὴν δὲ νυνὶ προκειμένη καὶ τῶν συνεπικουρούντων ἐξηπορημένη. ὦ ναῶν σεβασμίων χάρις καὶ λαμπρότης, ὦ μεγέθη καὶ κάλλη καὶ λεπτουργίαι καὶ ἀγλαΐσματα, ὦ θυμάτων ἀναιμάκτων καὶ φρικτῆς θυσίας καὶ μυστικῆς τραπέζης, ὦ θυσιαστήριον καὶ χῶρος ἄβατος καὶ σεπτός, ὅπως πολεμίων πόδες βεβήλωσιν ἀπειλοῦσιν. ὦ σέβας αὐτὸ καὶ πίστις ἄχραντος καὶ λατρεία καθαρά, ὅπως δυσσεβούντων καθ' ὑμῶν καὶ φρυαττομένων πλατύνεται στόμα. ὦ ἱερέων πολιὰ καὶ χρῖσμα καὶ ἱερωσύνη. ὤμοι τέμενος ἱερὸν θεοῦ καὶ θεοῦ σοφία ὁ τῆς οἰκουμένης ἀκοίμητος ὀφθαλμός. θρηνήσατε, παρθένοι, θυγατέρες Ἱερουσαλήμ· κλαύσατε, νεανίσκοι πόλεως Ἱερουσαλήμ, πενθήσατε καὶ μητέρες δακρύσατε, νήπια δακρύσατε· τὸ μέγεθος γὰρ τοῦ πάθους καὶ ὑμᾶς εἰς συναίσθησιν ἐκβιάζεται. δακρύσατε ὅτι ἐπλήθυνεν ἡμῖν τὰ κακά, καὶ οὐκ ἔστιν ὁ ἐξαιρούμενος, οὐκ ἔστιν ὁ βοηθός. ἀλλὰ μέχρι τίνος ὁ θρῆνος, μέχρι τίνος τὸ πένθος, μέχρι τίνος ὁ ὀλολυγμός; τίς εἰσακούσεται, καὶ πῶς ἡ θραῦσις κοπιάσει; τίς ἐξιλάσεται; τίς βοήσεται ὑπὲρ

---

1. δουλέυσαν *A*, δουλεύουσαν scripsi. 5. τὸ κατὰ σοῦ κράτος] κατὰ τοῦ σοῦ κράτους exspectes. 8. φιλάνθρωπον ὄμμα] verba corrupta. 13. μεγάλη *A*, μεγέθη scripsi. 17. σέβας αὐτὸ] σέβας ἁγνὸν malim. 19. χρῖσμα] χρίσμα *A*. ὤμοι] ᾤμοι *A*. 26. ὀλολυγμός *A*, ὁ ὀλολυγμός scripsi. 27. κοπιάσει] κοπάσει *A*.

ἡμῶν; εἴ τις ἦν Μωυσῆς, εἶπεν ἂν πρὸς κύριον· «ἐὰν αὐτοῖς ἀφῇς, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου τῆς ζωῆς, ἧς ἔγραψας.» καὶ πρὸς ἡμᾶς δέ· «κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν». ἀλλ' οὐκ ἔστιν, ὅτι ἐκλέλοιπεν ὅσιος ἀπὸ τῆς γῆς. οὐκ ἔστι Μωσῆς, οὐκ ἔστιν Ἀβραὰμ ὥστε διᾶραι τὸ στόμα καὶ παρρησιάσασθαι καὶ εἰπεῖν πρὸς τὸν θεόν· «μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής». οὐκ ἔστιν ὅστις ἐπέλθοι τὰς φιλανθρώπους ἐκείνας καὶ θαυμασίους τῶν λόγων ἐπαγωγάς, δι' ὧν ἐπὶ δέκα δικαίοις τὴν μυριάνθρωπον πόλιν ἔξω φύσεως φερομένην ἐντὸς σωτηρίας ἠξίου γενέσθαι καὶ πρὸς τοῦ τῶν ὅλων ἀκοῦσαι θεοῦ ὡς «ἐὰν εὑρεθῶσιν ἐν τῇ πόλει δέκα, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα». οὐκ ἔστιν οὖν Μωσῆς, οὐκ ἔστιν Ἀβραάμ· ἀλλ' ἐὰν ὑμεῖς βούλησθε, παράδοξον μὲν ἐρῶ, ἀληθὲς δέ, ὅμως δύνασθε ὑμῖν ἑαυτοῖς Μωσέα παρασκευάσαι, δύνασθε Ἀβραὰμ δεῖξαι. καὶ Μωυσῆς γὰρ ἀνεπιστρόφως ἔχοντος τοῦ λαοῦ δεινὸν οὔπω δεινὸν εἰ πρεσβεύων παρηκούετο· ἀλλ' ἐκεῖνο λίαν φοβερὸν ὡς πολλοὺς πολλάκις ὑπὲρ ὧν ἅπαντα ἔπραττεν ὑποχείρια διεχρήσατο. καὶ Ἀβραὰμ δὲ περὶ ὧν ἐδυσώπει καὶ ἱκέτευεν, τούτους ἑώρα τὸν βίον εἰς πυρὸς δαπάνην καταστρέφοντας, ὅτι παθῶν αὐτοῖς ἄκανθαι τὸ γεώργιον ἦν. δύνασθε, ἐὰν βούλησθε, ἵνα λέγῃ κἀκεῖνος πρὸς ὑμᾶς· «κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν». ποθεῖτε μαθεῖν ὅπως δέδοικα τὸν κλαυθμὸν ὑμῶν; ὅτι πρόσκαιρος· τὴν ἐλεημοσύνην ὑμῶν, ὅτι πρὸς βραχύ· τὴν σωφροσύνην, ὅτι ἐφήμερος· τὴν φιλαδελφίαν, ὅτι μέχρις ἂν τὸ δυσμενὲς τῶν κύκλῳ ἐχθρῶν ἅτε δὴ κοι-

---

1 — 3. ἐὰν — ἔγραψας] Exod. 32, 32: καὶ νῦν εἰ μὲν ἀφεῖς (sic) αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου ἧς ἔγραψας. 3. 4. cf. Exod. 14, 14: κύριος πολεμήσει περὶ ὑμῶν, καὶ ὑμεῖς σιγήσετε. 4. σιγήσομεν] σιγήσωμεν *A*. 5. διᾶραι] διάραι *A*. 6. 7. μὴ — ἀσεβής] Genes. 18, 23. 11. 12. ἐὰν εὑρεθῶσιν — τῶν δέκα] Genes. 18, 32: ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα. 14. ὑμῖν ἑαυτοῖς] ὑμῖν αὐτοῖς scripserim, nisi forte ὑμῖν αὐτοὶ ἑαυτοῖς praeferendum. 20. 21. cf. p. 212, 3. 4. 23. πρὸς βραχύ] προσβραχύ *A*.

νὸν ὑπάρχον κακὸν εἰς ὁμόνοιαν ὑμᾶς συνωϑεῖ· τὸ ταπεινὸν καὶ μέτριον τῶν ἠϑῶν, ὅτι μέχρις ἂν ἡ αἰχμαλωσία ἐμπρόϑεσμος· τὸν τῦφον πατούμενον καὶ τὸν ϑυμὸν χαλινούμενον καὶ τὴν γλῶτταν πνευματικῶν ᾀσμάτων, ἀλλὰ μὴ αἰσχρῶν ῥημάτων δεικνυμένην ὄργανον, ὅτι μέχρις ἂν τῶν πολεμίων οἱ ἀλαλαγμοὶ τοῖς ὠσὶν ὑμῶν προσαράσσουσι· τὰς λιτὰς καὶ τὰς παννύχους στάσεις καὶ τὴν νηστείαν καὶ τοὺς στεναγμούς, ὅτι μέχρις ἂν ὁ διὰ ξίφους ϑάνατος. ταῦτά με ταράττει καὶ ϑορυβεῖ πολὺ τῶν ὅπλων πλέον τῶν βαρβαρικῶν· ταῦτα δέδοικα ῥᾳδίως νυνὶ καὶ παρὰ πάντων ἅμα ὁρῶν συντελούμενα, ὅτι πρότερον οὐδ' ἐνίοις τισὶν οὐδὲ χωρὶς καὶ μόλις ἐπράττετο. φοβεῖ με καὶ ἀνιᾷ ὅτι ὅταν ἵσταται ἡ πληγή, τότε καὶ ἡμεῖς σεμνυνόμεϑα τὴν ἐπιστροφήν, ὅτι ὅταν ἐπιστῇ τὰ λυπηρά, τότε πρὸς τὰς πράξεις καταφεύγομεν τὰς χρηστάς. διὰ τοῦτο νῦν οὐκ ἔστι Μωυσῆς οὐδὲ Ἀβραάμ. εἰ δὲ καὶ παρελϑούσης τῆς νῦν ἡμᾶς κατεχούσης συμφορᾶς τὴν αὐτὴν κοσμιότητα καὶ τάξιν καὶ κατάστασιν ἐφυλάττετε, πολλοὺς ἂν Μωσέας καὶ Ἀβραὰμ προπολεμεῖν ὑμῶν καὶ ὑπὲρ ἡμῶν ἐξιλεοῦσϑαι προεβάλλετο ϑεός. καὶ τί λέγω Μωυσέα καὶ Ἀβραάμ; αὐτὸν τὸν κοινὸν δεσπότην ἡμῶν τε κἀκείνων πρόμαχον ἡμῶν καὶ προασπιστὴν ἀπεργάζεσϑε, τὸν ἐπαγαγόντα τὸν ἐχϑρὸν διὰ τὰς ἁμαρτίας ἡμῶν ϑραύοντα τῶν ἐχϑρῶν τὴν ἰσχύν, τὸν παιδεύοντα ἰώμενον, τὸν ὀργιζόμενον φιλανϑρωπευόμενον. μεγάλη γὰρ ἡ ἐλεημοσύνη κυρίου τοῦ ϑεοῦ ἡμῶν καὶ ἐξιλασμὸς αὐτοῦ τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτὸν ὁσίως, καὶ βελτίους ποιήσατε, διὰ Ἱερεμίου βοᾷ, τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα ὑμῶν καὶ ἀκούσατε τῆς φωνῆς κυρίου, καὶ παύσεται κύριος τῶν κακῶν ὧν ἐλάλησεν ἐφ' ὑμᾶς. ἀλλ' οὐ βούλεσϑε. μὴ βοᾶτε μηδὲ ϑορυβεῖσϑε· κρεῖσσον ἦν ἡσύχως εὐχαριστεῖν, ἀλλὰ μὴ διωλύγιον βοᾶν,

---

3. τῦφον] τύφον *A*. 9. ὁρῶ *A*, ὁρῶν scripsi. 13. διὰ τοῦτο] διατοῦτο *A*. 16. ἐφύλαττε *A*, ἐφυλάττετε scripsi. 17. ὑπὲρ ἡμῶν] ὑπὲρ ὑμῶν malim. προεβάλετε *A*, προεβάλλετο scripsi. 24. διὰ Ἱερεμίου] haud scio an Ierem. 42, 15 et 43, 7 respiciantur. 26. ἐφ' ἡμᾶς *A*, ἐφ' ὑμᾶς scripsi. μηδὲ] μὴ δὲ *A*.

ὑπὲρ ὧν μὴ ἐπάσχομεν, ἀλλὰ μὴ περὶ τοῦ δεδιέναι παϑεῖν ἃ τοῖς οὐκ ὀρϑῶς βιοῦσιν ἕπεται παϑεῖν, ἐφ᾽ ᾧ τῶν ἀγαϑῶν ἡμῖν αἱ κατὰ τὸν βίον ἄφϑονοι πηγαὶ ἀνεδίδοντο, ἀλλὰ μὴ τῶν χαλεπῶν ἡμῖν ἀπείρων ὄχλον ἐπὶ ξυροῦ βεβηκότα πειρᾶσϑαι φυγεῖν. ἀλλὰ στήσατε τὸν κλαυϑμόν, παύσασϑε τούτων, ἀσφαλεῖς φύλακες γένεσϑε, τολμῶ καὶ λέγω ἐγὼ τῆς σωτηρίας ὑμῖν ἐγγυητής. ταῖς ἐπαγγελίαις ὑμῶν ϑαρρῶν τοῦτο φημί, οὐ ταῖς πράξεσι ταῖς ἐμαῖς, ταῖς ὑμῶν ὑποσχέσεσιν, ἀλλ᾽ οὐ ταῖς ἐμαῖς φωναῖς. ἐγὼ ὑμῖν ἐγγυῶμαι τὴν σωτηρίαν, ἂν αὐτοὶ βεβαίως συντηρήσητε τὰς ὁμολογίας· ἐγὼ τὴν τῶν δυσχερῶν ἀπαλλαγήν, ἂν ὑμεῖς πάγιον τὴν ἐπιστροφήν· ἐγὼ τὴν ὑποχώρησιν τῶν ἐχϑρῶν, ἂν τὴν ἀναχώρησιν ὑμεῖς τῶν παϑῶν. μᾶλλον δὲ οὐδὲ ἐγὼ τούτων ἐγγυητής, ἀλλὰ καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ ὑμῶν, ἂν ἄρα τῶν συνϑηκῶν ὑμῶν ἀπροφάσιστοι γένησϑε πληρωταί, ὑμᾶς αὐτοὺς προβάλλομαι ἐγγυητάς· ὑμᾶς ἀποφαίνω πρεσβευτάς, καί γε κύριος φιλάνϑρωπος ὢν καὶ μετανοῶν ἐπὶ κακίαις ἀνϑρώπων ἐρεῖ πρὸς ὑμᾶς· «ἰδού, ἀπαλείφω ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου. ἐπιστράφηϑι ἐπ᾽ ἐμέ, καὶ λυτρώσομαί σε», καὶ «ἐπιστράφητε πρός με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς». καὶ «πέρας λαλήσω ἐπὶ ἔϑνος

---

3. πληγαὶ *A*, πηγαὶ scripsi. 5. γένησϑε *A*, γένεσϑε scripsi. 6. ἐγγυητής] ἐγγυιτής *A*. 11. ἂν τῶν *A*, ἂν τὴν scripsi. 12. οὐδὲ ἐγὼ τούτων] οὐδὲ τούτων[β] ἐγὼ[α] *A*. ἐγγυητής] ἐγγυιτής *A*. 13. συνϑηκῶν ὑμῶν] συνϑηκῶν ὑμεῖς malim. 14. ἐγγυητάς] ἐγγυιτάς *A*. 15. καί γε κύριος] καὶ γὰρ κύριος requiri videtur. 16—18. ἰδού — σε] Ies. 44, 22: ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὴν ἁμαρτίαν σου· ἐπιστράφηϑι πρός με (πρὸς μὲ more suo Tischend.), καὶ λυτρώσομαί σε. 17. νεφέλην] νέφελην *A*. 18. ἐπιστράφηϑι] ἐπιστράφητι *A*. 18. 19. ἐπιστράφητε — πρὸς ὑμᾶς] Zachar. 1, 3: ἐπιστρέψατε πρός με, λέγει κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. 19 — p. 215, 3. πέρας λαλήσω — ποιῆσαι αὐτοῖς] Ierem. 18, 7. 8: πέρας λαλήσω ἐπὶ ἔϑνος ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ τοῦ ἀπολλύειν, καὶ ἐπιστραφῇ τὸ ἔϑνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς.

ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ ἀπολλύειν. καὶ ἐὰν ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακῶν αὐτῶν, μετανοήσω κἀγὼ περὶ πάντων τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς». τὸ λοιπόν, ἀγαπητοί, πρὸς τὴν μητέρα τοῦ λόγου, τὴν μόνην ἡμῶν ἐλπίδα καὶ καταφυγήν, καιρὸς ἐφέστηκε προσδραμεῖν. ταύτῃ βοήσωμεν ποτνιώμενοι. σῶσον πόλιν σὴν ὡς οἶδας, ὦ δέσποινα. ταύτην πρὸς τὸν υἱὸν αὐτῆς καὶ θεὸν ἡμῶν μεσίτην στησώμεθα καὶ τῶν διομολογηθέντων ἡμῖν μάρτυρα καὶ ἐγγυητὴν ποιησώμεθα καὶ τὰς ἡμετέρας αἰτήσεις διαπορθμεύουσαν καὶ τὴν παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς φιλανθρωπίαν ἐπομβρίζουσαν καὶ τὸ νέφος τῶν ἐχθρῶν διασκεδάζουσαν καὶ τὰς τῆς σωτηρίας ἡμῖν αὐγὰς ἀναλάμπουσαν· ἧς ταῖς πρεσβείαις τῆς παρούσης μὲν ῥυσθείημεν ὀργῆς, ῥυσθείημεν δὲ καὶ τῆς μελλούσης καὶ ἀτελευτήτου κατακρίσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα καὶ εὐχαριστία καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1. ἐξᾶραι] ἐξάραι *A*. 3. 4. τὸ λοιπόν] τολοιπόν *A*. 8. ἐγγυητὴν] ἐγγυιτὴν *A*. 13. μελλούσης] μελούσης *A*. 15. ἀεὶ] ᾀεὶ *A*.

PHOTII

IN ROSSORVM INCVRSIONEM

HOMILIA II.

Οἶδα μὲν ὡς ἅπαντες συνεπίστασθε, ὅσοι τε δεινοὶ συνιδεῖν ἀποστροφὴν πρὸς ἀνθρώπους θεοῦ ὅσοι τε ἀμαθέστερόν πως περὶ τὰ τοῦ κυρίου διάκεισθε κρίματα, πάντας δ' οὖν ὁμῶς συνιέναι καὶ κατανοῆσαι λογίζομαι τὴν ἐπενεχθεῖσαν ἡμῖν ἀπειλὴν καὶ τὴν τοῦ ἔθνους ἀθρόαν ἐπιδρομὴν οὐκ ἄλλοθέν ποθεν ἢ ἐξ ὀργῆς καὶ θυμοῦ παντοκράτορος κυρίου ἡμῖν ἐπισπιλάσαι. ἀγαθὸν μὲν γὰρ τὸ θεῖον καὶ θυμοῦ κρεῖττον καὶ παντὸς πάθους, ἅτε δὴ πάσης ὑλαίας διαθέσεως ἀνυπερβλήτῳ λόγῳ τὴν ὑπόβασιν κληρωσαμένης τὴν φύσιν ἔχον ὑπερανῳκισμένην· ὀργίζεσθαι δὲ καὶ θυμοῦσθαι λέγοιτ' ἂν εἰκότως, ἐπειδάν τι τῶν πεπραγμένων θυμοῦ καὶ ὀργῆς κριθὲν ἄξιον τὴν προσήκουσαν ἐκεῖθεν δίκην τοῖς δεδρακόσιν ἐπισπάσηται, καθ' ὃν τρόπον καὶ νῦν ἡμῖν ἐπεισφρήσασα κατερράγη συμφορὰ κατὰ πρόσωπον ἡμῶν παριστῶσα τῶν ἡμαρτημένων τὸν ἔλεγχον. οὐδὲ γὰρ οὐδὲ ταῖς ἄλλαις τῶν βαρβάρων καταδρομαῖς προσέοικεν, ἀλλὰ τὸ τῆς ἐφόδου παράλογον καὶ τοῦ τάχους τὸ παράδοξον τοῦ

Inscriptionem hanc praebet *A*: Τοῦ αὐτοῦ ἁγιωτάτου Φωτίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης ὁμιλία δευτέρα εἰς τὴν ἔφοδον τῶν Ῥῶς. 3. ὅμως *A*, ὁμῶς scripsi. 5. ἢ] ἡ *A*.
6. ἐπισπιλάσαι] verbum lexicographis ignotum erunt fortasse qui in ἐπιπολάσαι mutandum existiment; interea haud infrequens est κατασπιλάζειν, de quo cf. inprimis Suid. v. κατεσπίλασεν.

τε βαρβάρου φύλου τὸ ἀπάνϑρωπον καὶ τῶν τρόπων τὸ ἀπότομον καὶ τῆς γνώμης τὸ ἀνήμερον οὐρανόϑεν τὴν πληγὴν ὡς σκηπτὸν μηνύει ἐπαφεϑῆναι. οὐχ ὅτι δὲ πάντες τοῦτο συνεπίστασϑε καὶ ταῖς ὑμῶν καρδίαις ἥ τε τοῦ πάϑους ὀξύτης καὶ ἡ τοῦ καιροῦ ἀκμὴ τῶν συνενεχϑέντων τὸ αἴτιον ἐνεχάραξε, διὰ τοῦτο σιγήσομαι, ἀλλ' ὅτι καὶ ὑμᾶς τῶν εἰρησομένων λαβὼν ἔχω συνίστορας, διὰ τοῦτο μᾶλλον σὺν ἐλέγχῳ δικαίῳ τοὺς λόγους ποιήσομαι, ἐκεῖνα ὑμῖν ἐκτραγῳδῶν καὶ ὑποκρινόμενος, ὧν αὐτοὶ τὴν σκηνὴν τοῖς οἰκείοις ἐπηξάμεϑα παραπτώμασιν καὶ τὸ δρᾶμα συνεπεσκευασάμεϑα, παϑῶν πολυμόρφων ϑέατρον τὴν ἡμῶν πολιτείαν στησάμενοι. ὀργὴ γὰρ ϑεοῦ διὰ τὰς ἡμῶν ἁμαρτίας ἐπέρχεται καὶ τῆς ἀπειλῆς ὕλη τῶν ἁμαρτανόντων αἱ πράξεις τυγχάνουσι καὶ τῆς τιμωρίας ἡ εἴσπραξις τῶν ὀλισϑημάτων τὸ ἀνεπίστροφον. ὅσῳ δὲ ξένη καὶ δεινῶς ἄτοπος τοῦ καταρραγέντος ἔϑνους ἡ ἔφοδος, τοσούτῳ τῶν πλημμεληϑέντων ἡ ὑπερβολὴ διελέγχεται. ὅσον δὲ πάλιν ἀφανὲς ἄσημον καὶ μηδὲ μέχρι τῆς καϑ' ἡμῶν ἐπελεύσεως γινωσκίμενον, τοσοῦτον ἡμῖν ὁ τῆς αἰσχύνης ὄγκος ἐπιγράφεται καὶ τῶν ὀνειδισμῶν ὁ ϑρίαμβος αἴρεται καὶ πικρότερον αἱ μάστιγες τὴν ὀδύνην ἐναποτίϑενται. ἡ γάρ τοι τῶν ἀσϑενεστέρων τε καὶ παρεωραμένων κατὰ τῶν ἐπιφανείᾳ λαμπρυνομένων καὶ ἰσχὺν ἀμάχων ἐπικράτεια ἀνυπέρβλητον παρίστησι τὴν πληγήν, ἀπαραμύϑητον εἰσάγει τὴν συμφοράν, ἀνεξάλειπτον συνέχει τῶν δυστυχημάτων τὴν μνήμην. οὕτω ταῖς ἀνομίαις ἡμῶν ἐμαστίχϑημεν καὶ τοῖς πάϑεσιν ὠδυνήϑημεν καὶ τοῖς παραπτώμασιν ἐταπεινώϑημεν καὶ τοῖς κακοῖς ἐκαρώϑημεν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ γενόμενοι. οἷς γὰρ

---

5. συνεχϑέντων *A*, συνενεχϑέντων scripsi. memorabile est eandem corruptelam infra recurrere p. 221, 16. 6. εἰρημένων *A*, εἰρησομένων scripsi. 13. 14. δεινὸς *A*, δεινῶς scripsi. 16. μηδὲ] μὴ δὲ *A*. ceterum post μηδὲ vide an ὀνόματι exciderit. 22. ἀνεξάλειπτον] ἀνεξάληπτον *A*. 24. 25. ἐκαρώϑημεν] aptius fuerit ἐκολάσϑημεν: quid scripserit Photius, sciet qui LXX interpretum locum quo utitur indagarit. 25. μυκτηρισμὸς — γενόμενοι] simillima verba supra legimus p. 208, 3. 4.

οὐδὲ Ῥωμαίων φήμη μόνη φορητή ποτε κατεφαίνετο, οὗτοι κατ' αὐτῆς αὐτῶν τῆς ἐξουσίας ὅπλα ἤροντο καὶ τὰς χεῖρας ἀνεκρότησαν ἐν ἐλπίδι τοῦ λαβεῖν τὴν βασιλίδα πόλιν ὡς νοσσιὰν φρυαξάμενοι. τά τε γὰρ πέριξ αὐτῆς ἐληίσαντο καὶ τὰ πρὸ τοῦ ἄστεος ἐλυμήναντο καὶ τοὺς συλληφθέντας ὠμῶς ἀπεχρήσαντο καὶ σὺν ἀδείᾳ πάσῃ ταύτης περιεχύθησαν, ἐπὶ τοσοῦτον ὑπὸ τῆς ἡμετέρας δυσπραγίας ἐπαρθέντες καὶ ὑψωθέντες ὥστε μηδ' ὀρθοῖς εἰς αὐτοὺς καὶ ἀπτοήτοις ἐνατενίζειν τοῖς ὀφθαλμοῖς τοὺς ἐνοικοῦντας δύνασθαι. ἀλλ' ἐξ ὧν εἰκὸς ἦν μᾶλλον αὐτοὺς ἀνδρικώτερον τοῖς πολεμίοις συμπλέκεσθαι, τούτοις ἐξενευροῦντο καὶ κατέπιπτον. τὴν γὰρ εἰς τοὺς ὁμοφύλους τῶν βαρβάρων μιαιφονίαν δέον δικαίαν ποιεῖσθαι ὀργὴν καὶ μετ' εὐλόγων ἐλπίδων τὴν ἴσην τιμωρίαν ἐπάγεσθαι ἀπαιτεῖν, οἱ δὲ κατεπτηχότες καὶ ἐκπεπληγμένοι παρελέλυντο, τὰ πάθη τῶν ἑαλωκότων οἰκείαν ἅλωσιν οἱ σεσωσμένοι καὶ παρ' ὧν ἐκδίκησις τοῖς ἠτυχηκόσιν ὠφείλετο φανταζόμενοι. ἐφ' ἅπαξ γὰρ τοῦ αἰφνιδίου δείματος τοῖς τῆς καρδίας κόλποις ἐναποσκήψαντος καὶ εἰς τραῦμα τὸ πάθος κοιλάναντος, ὥσπερ ἀπὸ πηγῆς τινος καὶ ἀρχῆς τοῦ περικαρδίου μώλωπος τὸ τῆς δειλίας ῥεῦμα εἰς ὅλον τὸ σῶμα μετωχετεύετο καὶ παρειμένα πάντας φέροντας τὰ μέλη τοὺς ἐφ' οἷς ἡ τοῦ πολέμου κρίσις ἀνέκειτο διεδείκνυεν. οὕτω δὴ τοῦ βαρβάρου φύλου γεγενήμεθα παίγνιον καὶ τὴν ἀπειλὴν αὐτῶν ἀνυπόστατον ἡγησάμεθα καὶ τὴν βουλὴν ἀκαταίσχυντον καὶ τὴν προσβολὴν ἀπροσμάχητον. ἔνθα γὰρ ὀργὴ θεοῦ, ἐκεῖ καὶ τὸ ἀτυχεῖν, καὶ ἡνίκα αὐτὸς ἀποστρέφεται, ἐκ τοῦ ῥᾴστου καὶ τὸ καταστραφῆναι παρεισδύεται, καὶ οὓς αὐτὸς μαστίζεσθαι παραδίδωσι, τὸ λαφυραγωγεῖν κατὰ χεῖρας τοῖς ἐπιχειροῦσι παραγίνεται, καὶ «εἰ μὴ κύριος φυλάσσει πόλιν, εἰς μάτην ἀγρυπνοῦσιν οἱ φυλάσσοντες.» ἔθνος ἀφανές, ἔθνος ἀναρίθμητον, ἔθνος ἐν ἀνδραπόδοις ταττόμενον,

---

6. ταύτης] ταύτῃ exspectes. **7.** μηδ'] μὴ δ' *A.* **19.** μετωχετεύετο] μετοχετεύετο *A.* **23. 24.** τὸ τυχεῖν *A*, τὸ ἀτυχεῖν scripsi.

26. 27. εἰ μὴ — φυλάσσοντες] Psalm. 126, 1: ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

ἄγνωστον μέν, ἀλλ' ἀπὸ τῆς καϑ' ἡμῶν στρατείας ὄνομα λαβόν, καὶ ἄσημον μέν, ἀλλ' ἐπίσημον γεγονός, ταπεινὸν καὶ ἠπορημένον, ἀλλ' εἰς ὕψωμα λαμπρὸν καὶ πλοῦτον ἄπλετον ἀναβεβηκός, ἔϑνος πόρρω που τῆς ἡμῶν ἀπῳκισμένον, βαρβαρικόν, νομαδικόν, τὸ ϑράσος ἔχον εἰς ὅπλα, ἀφύλακτον, ἀνεξέλεγκτον, ἀστρατήγητον, οὕτως ἀϑρόον, οὕτως ἐν ῥιπῇ ὀφϑαλμοῦ ὡς κῦμα ϑαλάσσης ἐξεχύϑη τοῖς ὁρίοις ἡμῶν, καὶ ὡς μονιὸς ἄγριος χόρτον ἢ καλάμην ἢ λήιον κατενεμήσατο τοὺς ἐνοικοῦντας ἐν τῇ γῇ, ὢ τῆς συμπεσούσης ἡμῖν ϑεηλάτου ποινῆς, μὴ φειδόμενον ἀπὸ ἀνϑρώπου ἕως κτήνους, οὐ ϑήλεων ἀσϑένειαν εὐλαβούμενον, οὐ νηπίων ἁπαλότητα δυσωπούμενον, οὐ πρεσβυτέρων πολιὰν καταιδούμενον, ὑπ' οὐδενὸς τῶν ὅσα δυσωπεῖν εἴωϑεν ἀνϑρώπου κἂν εἰς ϑηρίων ἐκδράμῃ φύσιν μαλασσόμενον, ἀλλὰ διὰ πάσης ἡλικίας καὶ φύσεως τὸ ξίφος ὠϑεῖν ϑρασυνόμενον. ἦν ἰδεῖν παρ' αὐτῶν νήπια μαζῶν καὶ γάλακτος ἅμα καὶ ζωῆς αὐτῆς ἀποσπώμενα καὶ τάφον αὐτοῖς αὐτοσχέδιον οἴμοι τὰς πέτρας αἷς προσηράσσοντο, μητέρας οἰκτρῶς ὀλολυζούσας καὶ ἐπισφαττομένας ἔτι σπαρασσομένοις καὶ ψυχορραγοῦσι τοῖς βρέφεσιν, ἄκουσμα ἐλεεινὸν καὶ ϑέαμα ἐλεεινότερον καὶ πολὺ κρεῖττον σιγᾶσϑαι ἢ λέγεσϑαι καὶ τῶν δεδρακότων μᾶλλον ἢ τῶν πεπονϑότων ἄξιον. οὐδὲ γὰρ οὐδὲ μέχρι τῆς ἀνϑρωπίνης φύσεως ἡ ἀγριότης προέβαινεν, ἀλλὰ διὰ πάντων ἀλόγων ζώων, βοῶν καὶ ἵππων καὶ ὀρνίϑων καὶ τῶν ἄλλων οἷς ἀνέπιπτον, ἡ ὠμότης διήλαυνεν. ἔκειτο βοῦς καὶ παρ' αὐτὸν ἄνϑρωπος, καὶ παῖς καὶ ἵππος τάφον εἶχον ὁμόσκηνον, καὶ γυναῖκες καὶ ὄρνιϑες τοῖς ἀλλήλων συνεφύροντο αἵμασι. μεστὰ δὲ νεκρῶν σωμάτων ἐτύγχανεν ἅπαντα. ποταμοῖς τὸ ῥεῖϑρον εἰς αἷμα μετεσκευάζετο, κρήνας καὶ δεξαμενὰς τὰς μὲν οὐκ ἦν ἔτι διακρίνειν ἐξομαλισϑέντων τῶν κοιλωμάτων τοῖς πτώμασι, ταῖς δὲ παντελῶς ἀμυδρὰ τοῦ προτέρου σχήματος ἴχνη ἐφαίνετο τῶν παρακειμένων αὐτοῖς ἀναπληρούντων τὰ λείποντα. τὰς

1. καϑ' ἡμᾶς *A*, καϑ' ἡμῶν scripsi. 10. ϑήλεος *A*, ϑήλεων scripsi. 11. ὅσω *A*, ὅσα scripsi. 12. ἐκδράμῃ] ἐκδράμοι *A*. 13. ἰδία *A*, διὰ scripsi. 25. μετὰ *A*, μεστὰ scripsi.

ἀρούρας νεκρὰ κατέσηπε σώματα, τὰς ὁδοὺς ἐστενοχώρει. τὰ ἄλση τούτοις μᾶλλον ἢ τοῖς ϑάμνοις καὶ ταῖς ἐρημίαις ἐϑηριοῦτο καὶ ἐξηγρίωτο. τὰ σπήλαια ἐπεπλήρωτο, ὄρη καὶ λόφοι καὶ χαράδραι καὶ φάραγγες οὐδὲν ἐν ταῖς πόλεσι πολυανδρίων διέφερον. οὕτω τοῦ πάϑους ἡ ϑραῦσις ἐξήπλωτο, καὶ ὁ τοῦ πολέμου λοιμὸς τοῖς τῶν ἁμαρτημάτων πτεροῖς ἐποχούμενος πανταχοῦ περιίπτατο τὸ προστυχὸν λυμαινόμενος. οὐδεὶς ἂν δύναιτο τὴν ἐπιστᾶσαν ἡμῖν τότε τῶν κακῶν Ἰλιάδα ἐφικέσϑαι τῷ λόγῳ. καὶ τίς ταῦτα συνορῶν οὐ τὸν τρυγίαν τοῦ ποτηρίου, ὃν ὁ ϑυμὸς ἐκέρασε κυρίου τοῖς ἡμῶν ὑπερζέσας πλημμελήμασιν, οὐκ ἐφ' ἡμᾶς ἐκχυϑῆναι ἂν ὁμολογήσειε; τίς ταῦτα μελετῶν καὶ συλλογιζόμενος οὐ πενϑῶν καὶ σκυϑρωπάζων δι' ὅλου τοῦ βίου καὶ πρὸς δυσμὰς αὐτὰς ἀφικόμενος πορεύεται, ὅπως ἅπαντα τότε συνεκέχυτο καὶ πῶς ἡ πόλις μικροῦ δέω φάναι δοριάλωτος ἐγεγένητο. ἐν ᾧ γὰρ ῥᾴδιον μὲν τὸ ἁλῶναι, ἄπορον δὲ τοῖς ἐνοικοῦσι τὸ ὑπερασπίσαι, ἐν ἐξουσίᾳ δηλονότι τῶν ἀντιπάλων τὸ παϑεῖν ταύτην ἢ μὴ παϑεῖν ἔκειτο· ἐν ᾧ δὲ ἡ τῆς πόλεως σωτηρία τοῖς τῶν πολεμίων ἤρτητο δακτύλοις καὶ τῇ τούτων εὐμενείᾳ ἡ ταύτης διεμετρεῖτο στάσις, παρὰ βραχὺ φημὶ διαφέρειν, μᾶλλον δὲ πολὺ χαλεπώτερον εἶναι τὸ μήπω πεσεῖν τὴν πόλιν τοῦ πάλαι πεσεῖν. τὸ μὲν γὰρ ἴσως τῷ τάχει τοῦ πάϑους ἄδηλον ἂν παρεῖχε τῆς μὴ παραυτίκα ἁλώσεως τὴν αἰτίαν· τὸ δὲ τῷ μήκει τοῦ χρόνου καὶ τὴν τῶν ἀντιπάλων ἐπαίρειν φιλανϑρωπίαν ὡς τῇ ἐκείνων οὔπω συγκατενεχϑείσης εὐσπλαγχνίᾳ καὶ τῷ πάϑει συνάπτον τὴν ἀπὸ τῆς συμπαϑείας ἀδοξίαν ἀλγεινοτέραν ποιεῖται τὴν συναίσϑησιν τῆς αἰχμαλωσίας. ἆρα μέμνησϑε τοῦ κλόνου καὶ τῶν δακρύων καὶ τῶν ὀλολυγμῶν, εἰς ἃ τότε ἡ πόλις πᾶσα σὺν

---

4. ἐν] τῶν ἐν malim. 6. 7. προστυχὸν] πρὸς τυχὸν *A*. 7. ἐπιστασίαν ἡμῶν *A*, ἐπιστᾶσαν ἡμῖν scripsi. 8. τῶν κακῶν Ἰλιάδα] eodem proverbio utitur Photius Epist. 13 p. 74. 9. τοῖς] ταῖς *A*.
10. 11. ἂν ὁμολογήσειε] ἀνομολογήσειε *A*. 17. ἤρτητο suspectum.
24. συμπαϑείας] συμπαϑίας *A*. quam formam non omnino damnandam esse docuit L. Dindorfius in Thes. Gr. L. vol. 7 p. 1087 B. cf. Anecd. Oxon. vol. 2 p. 299, 22 et quae diximus *Eur. Studien* II p. 137.

ἀπογνώσει τελευταίᾳ κατεφέρετο; ἴστε τὴν νύκτα ἐκείνην τὴν ζοφώδη καὶ φοβεράν, ὅτε συμπάντων ἡμῶν ὁ τοῦ βίου κύκλος τῷ τοῦ ἡλίου κύκλῳ συγκατεδύετο καὶ τὸ τῆς ζωῆς ἡμῶν φέγγος εἰς τὸ βαθὺ τοῦ θανάτου σκότος ἐβυθίζετο; ἴστε τὴν ὥραν ἐκείνην τὴν ἀφόρητον καὶ πικράν, ὅτε κατέπλεον ὑμῖν αἱ βαρβαρικαὶ νῆες, ὠμόν τι καὶ ἄγριον καὶ φονικὸν ἀποπνέουσαι; ὅτε ἡ θάλασσα γαληνῶσα καὶ ἀτρεμίζουσα τὰ νῶτα ἐξήπλωτο, αὐταῖς μὲν τὸν πλοῦν ἡδὺν καὶ καταθύμιον παρεχόμενα, τὰ δὲ τοῦ πολέμου κύματα καθ' ἡμῶν ἐπεκύμαινεν ἀγριαίνουσα; ὅτε τὴν πόλιν παρεπορεύοντο ἀνατείνοντας τὰ ξίφη φέρουσαι καὶ δεικνύουσαι τοὺς ἐμπλέοντας καὶ θάνατον ὥσπερ τὸν διὰ ξίφους ἀπειλοῦσαι κατὰ τῆς πόλεως, ὅτε πᾶσα μὲν ἐλπὶς ἀνθρωπίνη ἐξ ἀνθρώπων ἐρρύη, τῇ δὲ πρὸς τὸ θεῖον μόνῃ καταφυγῇ ἡ πόλις ἐπεσάλευεν; ὅτε σεισμὸς καὶ γνόφος κατεῖχε τοὺς λογισμοὺς καὶ τὰ ὦτα πρὸς οὐδὲν ἠνέῳκτο ἕτερον ἢ ὡς οἱ βάρβαροι τειχῶν εἰσήλασαν ἐντὸς καὶ τοῖς ἐχθροῖς ἡ πόλις κεχείρωται. τὸ γὰρ τοῦ συνενεχθέντος ἀπροσδόκητον καὶ τῆς ἐφόδου τὸ ἀνέλπιστον τοιαῦτα φαντάζεσθαι καὶ ἀκούειν ὥσπερ ἀνέπεισεν ἅπαντας, εἰωθὸς μάλιστα τὸ πάθημα τοῦτο τοῖς ἀνθρώποις καὶ ἄλλως ἐπιφοιτᾶν. ὃ μὲν γὰρ ἐκτόπως δεδίασιν, ἀκρίτῳ δόξῃ καὶ μὴ παρὸν ἑστάναι νομίζουσιν· οὗ δ' ὑπόνοιαν οὐ προέλαβον, αὐτεξουσίῳ γνώμῃ καὶ φθάσαντος πόρρω πέμπουσιν. ἦν ὄντως τότε πένθος καὶ θρῆνος καὶ οὐαί. τότε τῶν ἰδίων ἁμαρτημάτων ἀδέκαστος κριτὴς καθίστατο ἕκαστος, οὐ συκοφάντημα κατηγόρων εἰς φυγὴν τῆς κατηγορίας λοιδορούμενος, οὐ τῶν ἔξωθεν ἐλέγχων δεόμενος, οὐ μαρτύρων κλῆσιν προσποιούμενος εἰς τὸν κατὰ τοῦ πονηρεύματος θρίαμβον, ἀλλὰ τὴν ὀργὴν κυρίου κατ' ὀφθαλμοὺς τιθέμενος, ἕκαστος τὸ ἴδιον πταῖσμα ἐπεγίνωσκεν, καὶ ὑπὲρ ὧν τῆς ἐντολῆς ἐκτὸς ἀφρόνως ἐπολιτεύσατο, ἐντὸς γενέσθαι τῆς ἀπειλῆς ἐλογίζετο, καὶ τῇ τῶν λυπούντων πείρᾳ τῶν ἡδονῶν ἀποσπώμενος, εἰς σώφρονα βίον μετεκοσμεῖτο καὶ μετερρυθμίζετο καὶ αὐθομολογεῖσθαι κυρίῳ

---

5. ὑμῖν] ἡμῶν praetulerim. 7. ἡδὺ *A*, ἡδὺν scripsi. 16. συνενεχθέντος] συνεχθέντος *A*. cf. p. 217, 5. 30. μετερρυθμίζετο] μετε-

ἡμῶν; εἴ τις ἦν Μωυσῆς, εἶπεν ἂν πρὸς κύριον· «ἐὰν αὐτοῖς ἀφῇς, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου τῆς ζωῆς, ἧς ἔγραψας.» καὶ πρὸς ἡμᾶς δέ· «κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν». ἀλλ' οὐκ ἔστιν, ὅτι ἐκλέλοιπεν ὅσιος ἀπὸ τῆς γῆς. οὐκ ἔστι Μωσῆς, οὐκ ἔστιν Ἀβραὰμ ὥστε διᾶραι τὸ στόμα καὶ παρρησιάσασθαι καὶ εἰπεῖν πρὸς τὸν θεόν· «μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής». οὐκ ἔστιν ὅστις ἐπέλθοι τὰς φιλανθρώπους ἐκείνας καὶ θαυμασίους τῶν λόγων ἐπαγωγάς, δι' ὧν ἐπὶ δέκα δικαίοις τὴν μυριάνθρωπον πόλιν ἔξω φύσεως φερομένην ἐντὸς σωτηρίας ἠξίου γενέσθαι καὶ πρὸς τοῦ τῶν ὅλων ἀκοῦσαι θεοῦ ὡς «ἐὰν εὑρεθῶσιν ἐν τῇ πόλει δέκα, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα». οὐκ ἔστιν οὖν Μωσῆς, οὐκ ἔστιν Ἀβραάμ· ἀλλ' ἐὰν ὑμεῖς βούλησθε, παράδοξον μὲν ἐρῶ, ἀληθὲς δέ, ὅμως δύνασθε ὑμῖν ἑαυτοῖς Μωσέα παρασκευάσαι, δύνασθε Ἀβραὰμ δεῖξαι. καὶ Μωυσῆς γὰρ ἀνεπιστρόφως ἔχοντος τοῦ λαοῦ δεινὸν οὔπω δεινὸν εἰ πρεσβεύων παρηκούετο· ἀλλ' ἐκεῖνο λίαν φοβερὸν ὡς πολλοὺς πολλάκις ὑπὲρ ὧν ἅπαντα ἔπραττεν ὑποχείρια διεχρήσατο. καὶ Ἀβραὰμ δὲ περὶ ὧν ἐδυσώπει καὶ ἱκέτευεν, τούτους ἑώρα τὸν βίον εἰς πυρὸς δαπάνην καταστρέφοντας, ὅτι παθῶν αὐτοῖς ἄκανθαι τὸ γεώργιον ἦν. δύνασθε, ἐὰν βούλησθε, ἵνα λέγῃ κἀκεῖνος πρὸς ὑμᾶς· «κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν». ποθεῖτε μαθεῖν ὅπως δέδοικα τὸν κλαυθμὸν ὑμῶν; ὅτι πρόσκαιρος· τὴν ἐλεημοσύνην ὑμῶν, ὅτι πρὸς βραχύ· τὴν σωφροσύνην, ὅτι ἐφήμερος· τὴν φιλαδελφίαν, ὅτι μέχρις ἂν τὸ δυσμενὲς τῶν κύκλῳ ἐχθρῶν ἅτε δὴ κοι-

---

1—3. ἐὰν — ἔγραψας] Exod. 32, 32: καὶ νῦν εἰ μὲν ἀφεῖς (sic) αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου ἧς ἔγραψας. 3. 4. cf. Exod. 14, 14: κύριος πολεμήσει περὶ ὑμῶν, καὶ ὑμεῖς σιγήσετε. 4. σιγήσομεν] σιγήσωμεν *A*. 5. διᾶραι] διάραι *A*. 6. 7. μὴ — ἀσεβής] Genes. 18, 23. 11. 12. ἐὰν εὑρεθῶσιν — τῶν δέκα] Genes. 18, 32: ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα. 14. ὑμῖν ἑαυτοῖς] ὑμῖν αὐτοῖς scripserim, nisi forte ὑμῖν αὐτοὶ ἑαυτοῖς praeferendum. 20. 21. cf. p. 212, 3. 4. 23. πρὸς βραχύ] προσβραχύ *A*.

νὸν ὑπάρχον κακὸν εἰς ὁμόνοιαν ὑμᾶς συνωθεῖ· τὸ ταπεινὸν καὶ μέτριον τῶν ἠθῶν, ὅτι μέχρις ἂν ἡ αἰχμαλωσία ἐμπρόθεσμος· τὸν τῦφον πατούμενον καὶ τὸν θυμὸν χαλινούμενον καὶ τὴν γλῶτταν πνευματικῶν ᾀσμάτων, ἀλλὰ μὴ αἰσχρῶν ῥημάτων δεικνυμένην ὄργανον, ὅτι μέχρις ἂν τῶν πολεμίων οἱ ἀλαλαγμοὶ τοῖς ὠσὶν ὑμῶν προσαράσσουσι· τὰς λιτὰς καὶ τὰς παννύχους στάσεις καὶ τὴν νηστείαν καὶ τοὺς στεναγμούς, ὅτι μέχρις ἂν ὁ διὰ ξίφους θάνατος. ταῦτά με ταράττει καὶ θορυβεῖ πολὺ τῶν ὅπλων πλέον τῶν βαρβαρικῶν· ταῦτα δέδοικα ῥᾳδίως νυνὶ καὶ παρὰ πάντων ἅμα ὁρῶν συντελούμενα, ὅτι πρότερον οὐδ' ἐνίοις τισὶν οὐδὲ χωρὶς καὶ μόλις ἐπράττετο. φοβεῖ με καὶ ἀνιᾷ ὅτι ὅταν ἵσταται ἡ πληγή, τότε καὶ ἡμεῖς σεμνυνόμεθα τὴν ἐπιστροφήν, ὅτι ὅταν ἐπιστῇ τὰ λυπηρά, τότε πρὸς τὰς πράξεις καταφεύγομεν τὰς χρηστάς. διὰ τοῦτο νῦν οὐκ ἔστι Μωυσῆς οὐδὲ Ἀβραάμ. εἰ δὲ καὶ παρελθούσης τῆς νῦν ἡμᾶς κατεχούσης συμφορᾶς τὴν αὐτὴν κοσμιότητα καὶ τάξιν καὶ κατάστασιν ἐφυλάττετε, πολλοὺς ἂν Μωσέας καὶ Ἀβραὰμ προπολεμεῖν ὑμῶν καὶ ὑπὲρ ἡμῶν ἐξιλεοῦσθαι προεβάλλετο θεός. καὶ τί λέγω Μωυσέα καὶ Ἀβραάμ; αὐτὸν τὸν κοινὸν δεσπότην ἡμῶν τε κἀκείνων πρόμαχον ἡμῶν καὶ προασπιστὴν ἀπεργάζεσθε, τὸν ἐπαγαγόντα τὸν ἐχθρὸν διὰ τὰς ἁμαρτίας ἡμῶν θραύοντα τῶν ἐχθρῶν τὴν ἰσχύν, τὸν παιδεύοντα ἰώμενον, τὸν ὀργιζόμενον φιλανθρωπευόμενον. μεγάλη γὰρ ἡ ἐλεημοσύνη κυρίου τοῦ θεοῦ ἡμῶν καὶ ἐξιλασμὸς αὐτοῦ τοῖς ἐπιστρέφουσιν ἐπ' αὐτὸν ὁσίως, καὶ βελτίους ποιήσατε, διὰ Ἱερεμίου βοᾷ, τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα ὑμῶν καὶ ἀκούσατε τῆς φωνῆς κυρίου, καὶ παύσεται κύριος τῶν κακῶν ὧν ἐλάλησεν ἐφ' ὑμᾶς. ἀλλ' οὐ βούλεσθε. μὴ βοᾶτε μηδὲ θορυβεῖσθε· κρεῖσσον ἦν ἡσύχως εὐχαριστεῖν, ἀλλὰ μὴ διωλύγιον βοᾶν,

---

3. τῦφον] τύφον *A*. 9. ὁρῶ *A*, ὁρῶν scripsi. 13. διὰ τοῦτο] διατοῦτο *A*. 16. ἐφύλαττε *A*, ἐφυλάττετε scripsi. 17. ὑπὲρ ἡμῶν] ὑπὲρ ὑμῶν malim. προεβάλετε *A*, προεβάλλετο scripsi. 24. διὰ Ἱερεμίου] haud scio an Ierem. 42, 15 et 43, 7 respiciantur. 26. ἐφ' ἡμᾶς *A*, ἐφ' ὑμᾶς scripsi. μηδὲ] μὴ δὲ *A*.

ὑπὲρ ὧν μὴ ἐπάσχομεν, ἀλλὰ μὴ περὶ τοῦ δεδιέναι παθεῖν ἃ τοῖς οὐκ ὀρθῶς βιοῦσιν ἕπεται παθεῖν, ἐφ' ᾧ τῶν ἀγαθῶν ἡμῖν αἱ κατὰ τὸν βίον ἄφθονοι πηγαὶ ἀνεδίδοντο, ἀλλὰ μὴ τῶν χαλεπῶν ἡμῖν ἀπείρων ὄχλον ἐπὶ ξυροῦ βεβηκότα πειρᾶσθαι φυγεῖν. ἀλλὰ στήσατε τὸν κλαυθμόν, παύσασθε τούτων, ἀσφαλεῖς φύλακες γένεσθε, τολμῶ καὶ λέγω ἐγὼ τῆς σωτηρίας ὑμῖν ἐγγυητής. ταῖς ἐπαγγελίαις ὑμῶν θαρρῶν τοῦτο φημί, οὐ ταῖς πράξεσι ταῖς ἐμαῖς, ταῖς ὑμῶν ὑποσχέσεσιν, ἀλλ' οὐ ταῖς ἐμαῖς φωναῖς. ἐγὼ ὑμῖν ἐγγυῶμαι τὴν σωτηρίαν, ἂν αὐτοὶ βεβαίως συντηρήσητε τὰς ὁμολογίας· ἐγὼ τὴν τῶν δυσχερῶν ἀπαλλαγήν, ἂν ὑμεῖς πάγιον τὴν ἐπιστροφήν· ἐγὼ τὴν ὑποχώρησιν τῶν ἐχθρῶν, ἂν τὴν ἀναχώρησιν ὑμεῖς τῶν παθῶν. μᾶλλον δὲ οὐδὲ ἐγὼ τούτων ἐγγυητής, ἀλλὰ καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ ὑμῶν, ἂν ἄρα τῶν συνθηκῶν ὑμῶν ἀπροφάσιστοι γένησθε πληρωταί, ὑμᾶς αὐτοὺς προβάλλομαι ἐγγυητάς· ὑμᾶς ἀποφαίνω πρεσβευτάς, καί γε κύριος φιλάνθρωπος ὢν καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων ἐρεῖ πρὸς ὑμᾶς· «ἰδού, ἀπαλείφω ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου. ἐπιστράφηθι ἐπ' ἐμέ, καὶ λυτρώσομαί σε», καὶ «ἐπιστράφητε πρός με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς». καὶ «πέρας λαλήσω ἐπὶ ἔθνος

---

3. πληγαὶ *A*, πηγαὶ scripsi. 5. γένησθε *A*, γένεσθε scripsi. 6. ἐγγυητής] ἐγγυιτής *A*. 11. ἂν τῶν *A*, ἂν τὴν scripsi. 12. οὐδὲ ἐγὼ τούτων] οὐδὲ τούτων ἐγὼ *A* (β α). ἐγγυητής] ἐγγυιτής *A*. 13. συνθηκῶν ὑμῶν] συνθηκῶν ὑμεῖς malim. 14. ἐγγυητάς] ἐγγυιτάς *A*. 15. καί γε κύριος] καὶ γὰρ κύριος requiri videtur. 16—18. ἰδού — σε] Ies. 44, 22: ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὴν ἁμαρτίαν σου· ἐπιστράφηθι πρός με (πρὸς μὲ more suo Tischend.), καὶ λυτρώσομαί σε. 17. νεφέλην] νέφελην *A*. 18. ἐπιστράφηθι] ἐπιστράφητι *A*. 18. 19. ἐπιστράφητε — πρὸς ὑμᾶς] Zachar. 1, 3: ἐπιστρέψατε πρός με, λέγει κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς. 19 — p. 215, 3. πέρας λαλήσω — ποιῆσαι αὐτοῖς] Ierem. 18, 7. 8: πέρας λαλήσω ἐπὶ ἔθνος ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ τοῦ ἀπολλύειν, καὶ ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς.

ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ ἀπολλύειν. καὶ ἐὰν ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακῶν αὐτῶν, μετανοήσω κἀγὼ περὶ πάντων τῶν κακῶν ὧν ἐλογισάμην τοῦ ποιῆσαι αὐτοῖς». τὸ λοιπόν, ἀγαπητοί, πρὸς τὴν μητέρα τοῦ λόγου, τὴν μόνην ἡμῶν ἐλπίδα καὶ καταφυγήν, καιρὸς ἐφέστηκε προσδραμεῖν. ταύτῃ βοήσωμεν ποτνιώμενοι. σῶσον πόλιν σὴν ὡς οἶδας, ὦ δέσποινα. ταύτην πρὸς τὸν υἱὸν αὐτῆς καὶ θεὸν ἡμῶν μεσίτην στησώμεθα καὶ τῶν διομολογηθέντων ἡμῖν μάρτυρα καὶ ἐγγυητὴν ποιησώμεθα καὶ τὰς ἡμετέρας αἰτήσεις διαπορθμεύουσαν καὶ τὴν παρὰ τοῦ τεχθέντος ἐξ αὐτῆς φιλανθρωπίαν ἐπομβρίζουσαν καὶ τὸ νέφος τῶν ἐχθρῶν διασκεδάζουσαν καὶ τὰς τῆς σωτηρίας ἡμῖν αὐγὰς ἀναλάμπουσαν· ἧς ταῖς πρεσβείαις τῆς παρούσης μὲν ῥυσθείημεν ὀργῆς, ῥυσθείημεν δὲ καὶ τῆς μελλούσης καὶ ἀτελευτήτου κατακρίσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα καὶ εὐχαριστία καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

1. ἐξᾶραι] ἐξάραι *A*. 3. 4. τὸ λοιπόν] τολοιπόν *A*. 8. ἐγγυητὴν] ἐγγυιτὴν *A*. 13. μελλούσης] μελούσης *A*. 15. ἀεὶ] ᾀεὶ *A*.

πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληϑείᾳ, καὶ ϑέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς», καὶ ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. ἐὰν δὲ τοῖς ἔμπροσϑεν ἡμῶν ἁμαρτήμασιν, ὃ μὴ γένοιτο, προστηκώμεϑα, μηδὲ γὰρ μηδ' εἴη τις ἐν ὑμῖν οὕτως ἀνάλγητος καὶ ἀδιόρϑωτος ὡς ἀλογῆσαι τοσαύτης καὶ τηλικαύτης ϑεηλάτου ἀγανακτήσεως, ἂν οὖν τούτοις αὐτοῖς ἐμμολυνώμεϑα πάϑεσι καὶ τῷ βορβόρῳ τῶν ἡδονῶν ἰλυσπώμεϑα καὶ μὴ τῇ ἐπιμονῇ τῆς μετανοίας τὰ φϑάσαντα ἐξιλασώμεϑα μηδὲ φυλακὴν τοῦ μέλλοντος βίου τῶν λυπηρῶν τὰ παρῳχηκότα ποιησώμεϑα, φεῦ, εἰς οἷον πάλιν ἑαυτοὺς ἐπιρρίπτομεν ὄλεϑρον, οἵων συμφορῶν ἀνορύσσομεν βόϑυνον, ἡλίκων κακῶν χειμῶνα καϑ' ἑαυτῶν ἀγριαίνοντες ἐπεγείρομεν. «ἐὰν γάρ», φησί, «μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη ϑανάτου». καὶ «ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδα, πῦρ καὶ ϑεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτοῦ» καὶ «πῦρ καὶ χάλαζα, λιμὸς καὶ ϑάνατος, ῥομφαία καὶ μάστιξ, ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐκτίσϑησαν ταῦτα πάντα». οὐκ ἀλλοτρίων ἡμῖν ὑποδειγμάτων χρεία εἰς τὸν οἰκεῖον σωφρονισμόν. ἡμᾶς αὐτοὺς εἰς τὴν σφῶν αὐτῶν διόρϑωσιν καὶ νουϑεσίαν δεῖ παραλαβεῖν τὸ πάϑος ἡμῶν εἰς ἡμέτερον ἴαμα, τῶν μελλόντων τὸ προλαβόν. ὅτε γὰρ ἀναγώγοις καὶ ἡδυπαϑέσι διατριβαῖς ἐντρυφῶντες ἐκδεδιῃτήμεϑα, ἵνα μὴ τὰ ἄλλα λέγω, τότε τὴν ὀργὴν κυρίου ἐφ' ἡμᾶς ὡς χαλάζης πλῆϑος ἐπὶ καρπῶν συγκομιδῇ καταφερομένην ἐβλέπομεν. ἔστη ἡ ϑραῦσις τῇ μετανοίᾳ, μὴ κινήσωμεν αὐτὴν τῇ ἀμελείᾳ. κατεπραΰνϑη ὁ ϑυ-

---

4. γένηται *A*, γένοιτο scripsi. 5. μηδὲ γὰρ μηδ'] μὴ δὲ γὰρ μὴ δ' *A*. τις] τίς *A*. ὑμῖν] ἡμῖν malim. 9. μηδὲ] μὴ δὲ *A*. 12—15. ἐὰν — σκεύη ϑανάτου] Psalm. 7, 13. 14. 15. 16. ἐπιβρέξει — ποτηρίου αὐτοῦ] Psalm. 10, 6. ubi τοῦ ποτηρίου αὐτῶν legitur. 16—18. cf. Siracid. 40, 9. 10: ϑάνατος καὶ αἷμα καὶ ἔρις καὶ ῥομφαία, ἐπαγωγαί, λιμὸς καὶ σύντριμμα καὶ μάστιξ, ἐπὶ τοὺς ἀνόμους ἐκτίσϑη ταῦτα πάντα. 17. μάστιξ] μάστιγξ *A*. 19. ἡμᾶς] ὑμᾶς *A*. 25. ἀμελείᾳ] ἀμελία *A*. quae forma poetarum videtur esse propria.

μὸς αὐτοῦ τοῖς τῶν δακρύων ἡμῶν ὀχετοῖς, μὴ ἀνάψωμεν πάλιν αὐτὸν βρασμῷ γέλωτος ἀκρατοῦς καὶ θυμελικῶν ἀθυρμάτων ἐνδελεχισμοῖς. ἡ καθ' ἡμῶν ἠκονημένη συνεστάλη ῥομφαία λιταῖς καὶ δεήσεσιν ὑποχωρήσασα, μὴ στιλβώσωμεν πάλιν αὐτὴν ὕπνοις καὶ μέθαις καὶ θεραπείᾳ τῆς ἀκολάστου σχολάζοντες γαστρός. τοῦ στεναγμοῦ τῆς καρδίας ἡμῶν καὶ τῆς βοῆς ἐκείνης ἤκουσεν ὁ θεὸς καὶ οὐχ ὑπερεῖδε· μὴ παυσώμεθα τοῦτο ποιεῖν, ἵνα διὰ παντὸς ἡμῖν ἡ θεόθεν φιλανθρωπία ἐπικουρῇ. κακὸν ἡ μέθη, κακὸν ἡ πορνεία, κακὸν τὸ ἀδικεῖν, κακὸν ἡ μισαδελφία, ἡ κατὰ τοῦ πλησίον ὀργή, ἡ ὑπεροψία, ὁ φόνος, ὁ φθόνος. κακὸν ἡ ῥᾳθυμία καὶ ἡ ἀμέλεια. φύγωμεν ταῦτα πάσῃ δυνάμει, ἀγαπητοί. κοινὰ τὰ πάθη, ἀρχόντων ἀρχομένων, πλουσίων πενήτων, ἀνδράσι γυναιξί· κοινὰ γενέσθω καὶ τὰ κατορθώματα. ταῦτα τὴν ὀργὴν ἐκκαίει τοῦ θεοῦ, ταῦτα τὴν ἀπειλὴν αὔξει, τὴν φιλανθρωπίαν ἀναστέλλει καὶ ταπεινοὺς μὲν παρασκευάζει τοῖς ἐχθροῖς, ὑπερυψοῖ δὲ τὸ πολέμιον καθ' ἡμῶν. ταῦτα βδελυξώμεθα καὶ ἀποστραφῶμεν ἐκ ψυχῆς, ἵνα μὴ τὴν ἀπὸ θεοῦ καταδικασθῶμεν ἀποστροφήν. καὶ γὰρ ὁ παλαιὸς Ἰσραὴλ ὅτε τοῖς πάθεσιν ἁλοὺς ἐξηλέγχετο, τότε ῥομφαίας παρεδίδοτο στόματι. Ἰσραὴλ ἐκεῖνος οὐχὶ τυχὸν ἔθνος οὐδὲ λαὸς παρορώμενος, ἀλλ' ὃς «σχοίνισμα κληρονομίας» ἐδοξάζετο καὶ λαὸς ἐμακαρίζετο «περιούσιος», ἐκεῖνος αὐτὸς ἁμαρτάνων μὲν ἐχθροῖς ἐμαστίζετο, κατορθῶν δὲ τούτων ἐκράτει καὶ ὑπερίσχυε, καὶ φυλακὴν μὲν τῶν ἐντολῶν μελετῶν ὅπλοις ἐκαρποῦτο τὴν ἀλλοτρίαν, ἑτέρων πόνοις αὐτὸς εὐφραινόμενος, τοῦ νόμου δὲ κατολιγωρῶν αὐτὸς ἀγόμενος δοριάλωτος τὴν οἰκείαν τοὺς ἐχθροὺς ἑώρα διακληρουμένους καὶ τὸ ἐνυάλιον παιωνίζοντάς τε καὶ πυρριχίζοντας. καὶ λίαν γε τοῦτο σοφῶς τε

---

12. ἀρχομένων addidi. 20. σχοίνισμα κληρονομίας] Psalm. 104, 11: σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ἡμῶν. 20. 21. λαὸς ἐμακαρίζετο περιούσιος] Exod. 19, 5 et alibi. 21. ἐκεῖνος οὗτος *A*, ἐκεῖνος αὐτὸς scripsi. quo sensu ἐκεῖνος οὗτος dicatur docet praeter alios Eur. Cycl. 105: ἐκεῖνος οὗτός εἰμι. cf. *Eurip. Stud.* II p. 145. 25. τὴν οἰκίαν *A*, τὴν οἰκείαν scripsi.

καὶ δικαίως· δεῖ γὰρ τὸν ἠγαπημένον καὶ οἰκειωϑέντα τῷ ϑεῷ λαὸν οὐ τῇ ἰσχύι πεποιϑέναι τῶν χειρῶν οὐδὲ τῇ ῥώμῃ μέγα φρονεῖν τοῦ βραχίονος οὐδὲ ταῖς τῶν ὅπλων παρασκευαῖς ἐπερείδεσϑαι, πεπεῖσϑαι δὲ κατακυριεύειν τῶν ἀνϑεστηκότων καὶ κρατεῖν τῇ συμμαχίᾳ τοῦ κρείττονος, ἐκείνην δὲ πράξεων συνειδέναι ταῖς ἀρίσταις ἐπακολουϑεῖν καὶ κατορϑωμάτων πλήϑει ἐπιφοιτᾶν. ἂν οὖν ἐξολισϑήσῃ τις τοῦ καλοῦ καὶ τῆς ἀρετῆς, συνολισϑαίνειν πάντως ἀνάγκη καὶ τῆς συμμαχίας αὐτοῦ τοῦ ϑεοῦ· ἂν δὲ τοῖς ἀγαϑοῖς ἔργοις τὸν βίον κομᾷ καὶ τεϑωρακισμένος μένῃ, τὴν ἀρετὴν σύμμαχον φέρει τὴν ἄμαχον ἐπικουρίαν κατ' ἐχϑρῶν. ἀλλ' ὁ μὲν τοῦ ϑεοῦ λαὸς τῇ ἐξ αὐτοῦ συμμαχίᾳ καὶ κρατύνεται καὶ τὴν κατὰ τῶν ἀντιπάλων νίκην τροπαιοφορεῖ· τὰ δὲ λοιπὰ τῶν ἐϑνῶν, οἷς ἡ περὶ τὸ ϑεῖον δόξα ἡμάρτηται, οὐ ταῖς σφῶν αὐτῶν ἀγαϑοεργίαις, ταῖς ἡμετέραις δὲ κακοπραγίαις αὔξει τὴν ἰσχὺν καὶ ταύταις κραταιοῦται καὶ μεγαλύνεται καϑ' ἡμῶν. μάστιγες γὰρ ὥσπερ ἐπαφίενται ἡμῖν, καὶ τὰ ἡμέτερα παραπτώματα τῶν μαστίγων ὕλη γίνεται, καὶ τοσοῦτον αὐτοῖς τὸ καϑ' ἡμῶν κράτος ἐγχειρίζεται, ὅσον ἂν ἡμεῖς ἑαυτῶν τοῖς πάϑεσι καταστρατηγήσωμεν καὶ τῇ πρὸς τὸ κακὸν νεύσει καὶ ὑποχωρήσει τὴν τάξιν, ἐφ' ἣν ἡμᾶς ὁ σωτήριος καὶ ϑεῖος νόμος ἔταξεν, ἐγκαταλείψωμεν. ὅταν οὖν κατορϑοῦντες μὲν οἰκειώμεϑα ϑεῷ, καὶ τὸ κρατεῖν ἡμῖν παραγίνεται τῶν ἐχϑρῶν τῷ κρατεῖν τῶν παϑῶν, ἁμαρτάνοντες δὲ τὴν ϑεόϑεν εἰσπραττόμεϑα ἀποστροφὴν καὶ τὸ πεσεῖν ὑποχείριοι τοῖς ἐχϑροῖς. πῶς οὐχὶ ταῦτα μὲν ἐκτρέπεσϑαι καὶ βδελύττεσϑαι δεῖ, τὰ κατορϑώματα δὲ μεταδιώκειν καὶ τούτοις ϑάλλειν καὶ συναύξειν τὸν βίον διὰ παντός; πῶς δ' ἄν τις

---

7. τις] τίς *A*. 8. 9. τὸν βίον κομᾷ] κομᾶ[β] τὸν βίον[α] *A*. 20. ἐγκαταλείψωμεν] de similibus formis multa attulit, quaedam aliis afferenda reliquit Lobeckius in Phryn. p. 713 sqq. nunc unum addere lubet non videri dixisse Babrium 21, 10 quod ei tribuitur, οὐ γὰρ ἐλλείψει τὸν βοῦν ὁ ϑύσων, κἂν μάγειρος ἐλλείψῃ. scribendum potius κἂν μάγειρος ἐλλείπῃ. 21. verba καὶ τὸ κρατεῖν bis deinceps scripta praebet *A*. ἡμῶν *A*, ἡμῖν scripsi. τῷ κράτει *A*, τῷ κρατεῖν scripsi.

καὶ κατισχῦσαι θαρρήσειεν ἐχθρῶν, ὅτε τοὺς ἐν αὐτῷ πολεμίους καὶ τὰς στάσεις ἔνδον θάλπει πορθοῦντας αὐτόν, ὅτε θυμὸς ἄλογος· τοῦ αὐτοκράτορος λογισμοῦ κρατεῖ καὶ κατὰ τοῦ πλησίον μηδὲν ἴσως ἠδικηκότος ἀναπείθει φονᾶν; πῶς σοι πολεμίων περιεῖναι τὸ νικᾶν ζητεῖς, ὅτε τὸ λίχνον τῆς ἐπιθυμίας ὑποχείριον λαβὸν τὸν αὐτοδέσποτον λογισμὸν ἕλκει τε καὶ μεθέλκει περιάγον καὶ δουλαγωγοῦν, ἔνθα ἂν ἐπιτάττῃ τὸ πάθος; πῶς οὕτω πορθουμένοις τε καὶ κατηνδραποδισμένοις τὸ κατὰ τῶν πολεμίων ἔπαθλον ἕψοιτο; οὐκ ἔστιν ὅλως οὐκ ἔστιν ὑπὸ τῶν ἐμφυλίων ἐχθρῶν δεσμευθέντα τε καὶ δουλωθέντα καὶ τοῖς πάθεσι πεπρακότα ἑαυτὸν κυριεύειν δύνασθαι τῶν ὑπαίθρων ἐχθρῶν. ἂν οὖν ἐκείνους καθελεῖν ἐθελήσωμεν, πολὺ πρότερον τοὺς ἐντὸς πολεμίους ὑποτάξαι σπουδάσωμεν, τὴν τούτων στάσιν καὶ τὴν ἔριν καταλύσωμεν. ἔστω τῶν παθῶν ὁ λογισμὸς αὐτάρχων, καὶ τότε τῶν ἐναντίων, οἷς ἔξωθεν βάλλειν καὶ τιτρώσκειν ἄδεια, ἐγκρατεῖς γενησόμεθα. ἂν γὰρ ὃν αὐτοκράτορα λογισμὸν ἔλαβες ἐκ θεοῦ, τοῦτον ταῖς ἡδοναῖς προπιών, ὡς ἀνδράποδον ὑπέταξας αὐταῖς αὐτόν, πῶς πολεμίων ἔξωθεν ἐπιτιθεμένων γενέσθαι κύριος ἐπιθυμεῖς; πῶς δυσμενῶν σκυλεύσεις ἀποσκευὴν ὁ ταῖς ἐγκολπίοις στάσεσι καὶ ταῖς ἐπιβουλαῖς καθ' ἑκάστην σκυλευόμενος τὸν νοῦν; ἐκφυλλοφορήσωμεν πρότερον τοὺς ἐμφυλίους τῶν λογισμῶν, καὶ τότε λαφυραγωγήσομεν τῶν ἀλλοφύλων εὐχερῶς τὴν ἰσχύν. οὐχ ὁρᾷς καὶ τὸν Ἰσραήλ, ὡς ἐπειδὰν μὲν ἐκράτει παθῶν, ἐκράτει καὶ τῶν ἐχθρῶν; συνεστρατήγει γὰρ αὐτῷ ὁ θεός. ὅτε δὲ τῇ ἁμαρτίᾳ ἐδεδούλωτο, τότε καὶ τοῖς ἐχθροῖς ἐξεδίδοτο· ἐγκαταλελοίπει γὰρ αὐτὸν ἡ συστρατηγοῦσα θεία ἰσχύς. οὗτος εὐαρεστῶν θεῷ διὰ Μωσέως τὰς τῶν Αἰγυπτίων φοβερὰς καὶ βαρείας χεῖρας ἐξέφυγε, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἀγριαίνουσα

---

1. κατισχῦσαι] κατισχύσαι *A*. θαρρήση *A*, θαρρήσειεν scripsi. αὐτῷ] αὐτῶ *A*. 8. ἕψοιτο] ἕψεται malim. 13. 14. τῶν παθῶν ὁ λογισμὸς] τῶν παθῶν ὁ παθῶν ὁ λογισμὸς *A*. 18. σκυλεύεις *A*, σκυλεύσεις scripsi. 21. λαφυραγωγήσωμεν *A*, λαφυραγωγήσομεν scripsi. 25. αὐτοὺς *A*, αὐτὸν scripsi. 27. τοῦτο μόνον] τοῦτον μόνον *A*.

ϑάλασσα αὐτοῖς μὲν εἰς εὐϑεῖαν τρίβον ὑπὲρ λόγον κατηυτρέπιστο, τάφος δ' αἰώνιος τοῖς τῶν Αἰγυπτίων ἐπιδιώκουσιν ἀνεῴγνυτο, αὐτοῖς ἵπποις, αὐτοῖς ἅρμασιν, αὐτῷ Φαραῷ, τερατουργοῦσα τὸν ὄλεϑρον. ἐν οἷς ὁ ἠγαπημένος τῷ ϑεῷ λαὸς ηὐφράνϑη τε καὶ ἠγαλλιάσατο καὶ τῷ στρατηγῷ καὶ νικοποιῷ ϑεῷ ᾠδὴν ἀνεκρούσατο ἐν χαρᾷ τὴν ἐξόδιον. ἀλλ' οὗτοι πάλιν ἐπειδὰν ὑπεσύρησαν ἁλῶναι γογγυσμῷ καὶ δίχα προστάγματος ϑεοῦ ἐπὶ πολέμου παρασκευὴν ἐξηρτύσαντο καὶ τὴν ἐν χειρῶν νόμῳ πεποίϑησιν τοῦ ϑείου προτεϑεικέναι συνϑήματος, ἐξηνέχϑησαν, κραταιῶς καταπολεμηϑέντες ἡττήϑησαν, τῷ οἰκείῳ παραπτώματι τῶν ἀντιπάλων τὸ κράτος ὀγκώσαντες καὶ τὸ κλέος ἀνυψώσαντες. πάλιν δὲ νόμῳ ϑεοῦ στρατηγούμενοι καὶ τοῖς Μωσέως λόγοις πειϑαρχούμενοι πολλὰς μὲν τῶν πολεμίων πόλεις ἐξεπόρϑησαν, πολλῶν δὲ σωμάτων ἐκράτησαν, πολλὴν δὲ λείαν ἐλαφυραγώγησαν καὶ πολλῆς ϑυμηδίας καὶ χαρᾶς ἐνεπλήσϑησαν. καὶ παρέμεινεν ἂν αὐτοῖς ἡ ἐπὶ τῇ νίκῃ ϑυμηδία καὶ τέρψις, εἰ μὴ ἀχαριστίᾳ τοὺς ὄφεις καϑ' ἑαυτῶν ἐπεστράτευσαν, ἐπεὶ μὴ παρῆν ἔϑνος ὃ τὴν ἐπὶ τῇ ἀχαριστίᾳ δικαίαν ἀγανάκτησιν τοῦ ϑεοῦ διὰ ξίφους ἀνεπλήρου καὶ ἀνεδείκνυτο. οὕτω μαστίζεται λαὸς ἁμαρτάνων, ἢ ξίφεσι πολεμίων ϑεριζόμενοι ἢ ϑηρίων ὀδοῦσι κατεσϑιόμενοι ἢ κλόνῳ γῆς καὶ βρασμῷ βιαίῳ παιδευόμενοι ἢ σκηπτοῖς οὐρανίοις ἀπανϑρακούμενοι ἢ καρπῶν ἀφορίᾳ πιεζόμενοι ἢ ἀέρος φϑόρῳ συμφϑειρόμενοι. καὶ τρόπος κολάσεως οὐκ ἐξαπορεῖται κατάλληλος τῷ τοῦ σφάλματος ἐπιτηδεύματι, καὶ τοῦτό τις διαφυγὼν ἐκείνῳ περιεπάρη, κἀκεῖνο πάλιν ἄλλως ἴσως διαδρὰς ὑπὸ τοῦ ἑτέρου συνηνέχϑη, καὶ ὁ παρανόμως βιοὺς καὶ τὰς εὐϑύνας ὠφληκὼς τὴν δίκην φυγεῖν οὐ δυνήσεται. τί γάρ μοι δεῖ καταλέγειν τὰ ἐπίλοιπα τοῦ Ἰσραήλ, τὰς κατ' ἐχϑρῶν νίκας, ὅτε ἐσωφρόνει, τὰς ἀπροσδοκήτους ἥττας, ὅτε πάλιν παρεφρόνει; τὴν αἰχμαλωσίαν, τὴν ἐπάνοδον, τὴν ἐπανάστασιν, πάλιν τὴν ἀπο-

---

1. εὐϑεῖαν] εὐϑείαν *A*. 12. πειϑαρχούμενοι] πειϑαρχοῦντες malim. 22. συμφϑειρόμενοι] συνφϑειρόμενοι *A*. 25. συνηνέχϑη suspectum. 26. ὠφληκὼς] ὀφληκὼς *A*.

κατάστασιν, αὐτὴν τὴν καταστροφὴν τῆς Ἱερουσαλὴμ, τὴν ἀνοικοδομὴν πάλιν; ὧν τὰ μὲν χρηστὰ χρησταῖς ἐπήνθει πράξεσι, μοχθηρῶν δὲ ἦσαν εἰσπράξεις τὰ δυσχερῆ. ἔχοντες οὖν, ἀγαπητοί, τὰ ἐφ' ἡμᾶς αὐτοὺς συνενεχθέντα εἰς ἡμῶν αὐτῶν ἐπανόρθωσιν τὰ κατὰ τὸν Ἰσραὴλ πάλαι προϋποδειχθέντα, μισήσωμεν τὴν ἁμαρτίαν καὶ ἀνθεξώμεθα τῶν ἀρετῶν. φύγωμεν τὰ ἐγκύκλια ταῦτα καὶ ψυχοβλαβῆ πλημμελήματα, μέθην, πορνείαν, φθόνον, καταλαλιάν, πλεονεξίαν, ἀδικίαν, ἀλαζονείαν, μισαδελφίαν, τὰ τούτων ἔκγονα, ὡς ἂν καὶ τῆς ἐν πολέμοις τροπαιοφορίας εὐτυχήσωμεν καὶ τῆς οὐρανίου κληροδοσίας μὴ ἀστοχήσωμεν. ἀλλ' ἐπειδὴ τῆς ἀπειλῆς ἐρρύσθημεν καὶ τὴν μάχαιραν διεφύγομεν καὶ παρῆλθεν ἡμᾶς ὁ ὀλοθρευτὴς τῆς μητρὸς τοῦ λόγου τῇ περιβολῇ σκεπασθέντας τε καὶ διασημανθέντας, κοινῇ πάντες σὺν αὐτῇ τῷ ἐξ αὐτῆς τεχθέντι Χριστῷ τῷ θεῷ ἡμῶν εὐχαριστηρίους ᾠδὰς ἀναπέμψωμεν, πᾶς οἶκος ὃς τὸ ξίφος διέφυγεν, ἡλικία πᾶσα, γυναῖκες, παῖδες, νέοι καὶ πρεσβῦται. οἷς γὰρ κοινὸς ὁ ὄλεθρος ἐπεκρέματο, οὗτοι κοινὸν τὸν ὕμνον ἐξοσιοῦν καὶ προσάγειν θεῷ καὶ τῇ τούτου μητρὶ κεχρεωστήκασι. κοινῆς ἐλευθερίας ἀπηλαύσαμεν, κοινὴν τὴν εὐχαριστίαν προσοίσωμεν. εἴπωμεν τῇ μητρὶ τοῦ λόγου καὶ γνώμης εὐθύτητι καὶ ψυχῆς καθαρότητι. «ἡμεῖς τὴν πρὸς σὲ πίστιν καὶ τὸν πόθον ἀδιστάκτως φυλάττομεν· αὐτὴ τὴν σὴν πόλιν, ὡς οἶδας, ὡς βούλει, περίσωσον. ὅπλα σε καὶ τεῖχος καὶ θυρεοὺς καὶ στρατηγὸν αὐτὸν προβαλλόμεθα· αὐτὴ τοῦ λαοῦ σου ὑπερμάχησον. ἡμεῖς σοι τὰς καρδίας καθαράς, ὅση δύναμις, ῥύπου καὶ παθῶν ἑαυτοὺς ἐξαρπάσαντες παραστῆσαι σπουδάσομεν· αὐτὴ τὰς βουλὰς τῶν καθ'

---

4. ὑμῶν *A*, ἡμῶν scripsi. 6. ἀνθεξώμεθα] num vera sit scriptura dubito: quamquam similium formarum exempla praebet Lobeckius in Phryn. p. 721. et ἵνα μισθαποδότην ἕξῃς legitur in Photii Epist. 129 p. 170. 10. ἀστοχήσωμεν] fortasse ἀτυχήσωμεν praeferendum. 14. ἀναπέμψωμεν] ἀναμέλψωμεν malim. 16. πρεσβῦται] πρεσβύται *A*. 19. προσοίσωμεν] de forma v. Lobeck. in Phryn. p. 733. 20. πόθον num sanum sit dubito. 21. φυλάττομεν] φυλάττωμεν aut φυλάξομεν scripserim.

ἡμῶν ἐξωφρυωμένων διασκέδασον. ἂν γάρ τι καὶ παρασφαλῶμεν τῶν ἐπηγγελμένων ἡμῖν, σόν ἐστι τὸ διορθώσασθαι, σόν ἐστι τὸ χεῖρα τοῖς ἐπὶ γόνυ κλιθεῖσι παρασχεῖν καὶ ἀναστῆσαι τοῦ πτώματος». εἴπωμεν ταῦτα τῇ παρθένῳ καὶ μὴ ψευσώμεθα, ἵνα μὴ τῆς καλῆς ἡμῶν ἐλπίδος διαψευσθῶμεν, ἵνα τῆς προσδοκίας μὴ παρασφαλῶμεν, ἵνα σάλου καὶ κυμάτων καὶ ζάλης τῶν ἐν τῷ βίῳ κακῶν ὑπερανασχόντες τῆς σωτηρίας ἡμῶν τῷ λιμένι ἐγκαθορμισθῶμεν καὶ τῆς ἐπουρανίου δόξης καταξιωθῶμεν χάριτι καὶ φιλανθρωπίᾳ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, τῇ ὁμοουσίῳ καὶ ζωαρχικῇ τριάδι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. ἀμήν.

---

1. παρασφαλῶμεν] παρασφάλωμεν *A*. 5. 6. παρασφαλῶμεν] παρασφάλωμεν *A*.

IOHANNIS TZETZAE

IN ARISTOPHANEM PROLEGOMENA

e codice Ambrosiano edita ab H. Keilio

in Mus. Rh. *N. F.* VI p. 110—122.

I. Βίβλος Ἀριστοφάνους Τζέτζην φορέουσ᾽ ὑποφήτην.

1. Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς μεγαλοδωρίαις βασιλικαῖς προτραπέντες Πτολεμαίῳ τῷ Φιλαδέλφῳ τὰς σκηνικὰς διωρθώσαντο βίβλους, τὰς τῆς κωμῳδίας καὶ τραγῳδίας καὶ τὰς τῶν σατύρων φημί, συμπαρόντος αὐτοῖς καὶ συνανορθοῦντος καὶ τοῦ τοιούτου βιβλιοφύλακος τῆς τοσαύτης βιβλιοθήκης Ἐρατοσθένους· ὧν βίβλων τοὺς πίνακας Καλλίμαχος ἀπεγράψατο. Ἀλέξανδρος ὤρθου τὰ τραγικά, Λυκόφρων τὰ κωμικά· νεανίαι ἦσαν Καλλίμαχος καὶ Ἐρατοσθένης. οὗτοι μὲν τὰς σκηνικὰς διωρθώσαντο βίβλους, ὡς τὰς τῶν ποιητῶν ἐπεσκέψαντο Ἀρίσταρχοί τε καὶ Ζηνόδοτοι. ὕστερον δὲ καὶ ταύτας ἁπάσας πολλοὶ ἀνεφάνησαν ὑποφητεύοντες καὶ ἐπεξηγούμενοι, Δίδυμοι, Τρύφωνες, Ἡρωδιανοί,

---

2. 3. μεγαλοδωρίαις βασιλικαῖς] μεγαλοδωρίοις βασιλικοῖς ed.
7. Καλλίμαχος] γρ. σώστρατος manu secunda supra scriptum esse testatur Keilius, qui haec addit: «de Sostrato Nysaeo grammatico, Pompeii magni praeceptore (Strab. XIV p. 650) cogitavit. similiter autem res iudicanda est atque illa, quod Athenodori nomen iis, qui Pisistrato iubente Homeri carmina collegerunt, in Parisino codice ascriptum est.» ὕστερον Καλλίμαχος legitur in Anecd. Paris. vol. 1 p. 6, 15. ac fortasse σώστρατος debetur vocabulo ὕστερον parum perspicue scripto.

Ἀπολλώνιοι, Πτολεμαῖοί τε Ἀσκαλωνῖται καὶ οἱ Κυθήριοι. πρότερος δὲ ἦν Ζηνόδοτος Ἐφέσιος, πέμπτος δὲ ἢ τέταρτος μετ' αὐτὸν Ἀρίσταρχος, ἄλλη τ' ἄλλων γλῶσσα πολυσπερέων ἀνδρῶν· μεθ' οὓς καὶ οἱ φιλόσοφοι Πορφύριος, Πλούταρχος, Πρόκλος, ὡς καὶ πρὸ πάντων αὐτῶν καὶ πρὸ τῶν χρόνων τῶν Πτολεμαίων φιλοσόφων ἑτέρων μερὶς οὐ μετρία καὶ ὁ ἐκ Σταγείρων αἰθέριος νοῦς, ὁ τοῖς νέοις σοφοῖς τοῖς ἀνεγνωκέναι μαθήματα λέγουσι [τὰς τούτου βίβλους οὕτω κατονομάζουσι] διδάξας τὰς νυκτερίδας λέγειν εἶναι τετράποδας, καὶ ὡς ὀστέον ἔχουσιν αἱ τῶν ἵππων καρδίαι καὶ βοῶν δέ τινων, καὶ ὡς ἕτερον τὸ πῖόν ἐστιν καὶ ἄλλο τὸ πιμελές, καὶ ὅτι τὰ γαμψώνυχα οὐκ ὀχευτικά, τῆς ἱέρακος τεσσαρακοντάκις μιᾷ ῥιπῇ ἐπιβαινομένης, καὶ ὅτι τῶν ὄρνεων βαρὺ καὶ πτητικὸν ἡ περιστερά, καὶ

---

1. Ἀπολλώνιοι] ὁ Ῥόδιος ποιητής supra scr. m. sec. οἱ Κυθήριοι] Ptolemaeum Cytherium commemorat Suidas, sed ἐποποιόν dicit, qui περὶ ψαλακάνθης scripserit. interea Suidae locum corruptela laborare probabiliter statuit Meinekius Com. 3 p. 219. Tzetzes grammaticum dicit Ptolemaeum Cytherium: quem dicat inter complures quos novimus Ptolemaeos grammaticos, alii viderint. 2. Ἐφέσιος] ὁ Ἐφέσιος coniecit Keilius. πέμπτος δὲ ἢ τέταρτος] ε̄ δὲ ἢ δ̄ ed.

3. ἄλλη τ' — ἀνδρῶν] utitur Tzetzes verbis Hom. Il. B, 804: ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων. 7. 8. τὰς — κατονομάζουσι] delenda esse haec verba suspicatur Keilius. 9. ὡς ὀστέον ἔχουσιν αἱ τῶν ἵππων καρδίαι καὶ βοῶν δέ τινων] cf. Aristot. de part. anim. III, 4 p. 666 b 17: ἔστι δ' ἀνόστεος (sc. καρδία) πάντων ὅσα καὶ ἡμεῖς τεθεάμεθα, πλὴν τῶν ἵππων καὶ γένους τινὸς βοῶν. ὀστέον] ὄστεον ed. 10. ὡς ἕτερον τὸ πῖόν ἐστιν καὶ ἄλλο τὸ πιμελές] respici videtur Aristot. de part. anim. II, 5. 10. 11. ὅτι τὰ γαμψώνυχα οὐκ ὀχευτικά] Aristot. de generat. anim. III, 1 p. 749 b 10: τὰ μὲν γαμψώνυχα οὔτ' ὀχευτικά ἐστιν οὔτε πολύγονα. γαμψώνυχα] γναμψώνυχα ed. 11. ὀχωτικά cod., ὀχευτικά Keilius. ῥιπῇ] ῥυπῇ ed., ῥοπῇ suasit nescio quis in Mus. Rhen. *N. F.* VI. p. 111.

12. ὅτι τῶν ὄρνεων βαρὺ καὶ πτητικὸν ἡ περιστερά] abutitur Tzetzes, nisi fallor, loco Aristot. de generat. anim. III, 1 p. 749 b 11: τὰ δὲ βαρέα καὶ τῶν πτητικῶν ὅσων τὰ σώματα ὀγκώδη, καθάπερ περιστερᾶς καὶ τῶν τοιούτων.

ὅτι τῶν ἀναίμων οὐδὲν ᾠοτοκεῖ, τοῦ πολύποδος ἀναίμου τε ὄντος καὶ τόσον γόνον ᾠοτοκοῦντος, ὡς ὁ ἐχῖνός τε ᾠὰ πέντε γεννᾷ, ἓν δὲ τὸ ὄστρεον, καὶ ὡς ὀδόντας ἔχει ἡ μέλισσα καὶ ἄλλα ἄττα τοιαῦτα μυρία ἔν τε θεωρητικοῖς, πρακτικοῖς καὶ ὀργανικοῖς τούτου συγγράμμασιν· ἃ μόνοις τοῖς ἀνεγνωκέναι βοῶσι μαθήματα δοκοῦσι θεσπέσιά τε εἶναι καὶ ἀτρεκέστατα, ἀπὸ δ' αὐτῶν τῶν ἔργων ἐληλεγμένοις ἢ μηδὲ ὅλως ταῦτα θεάσασθαι ἢ καὶ θεασαμένοις καὶ ἀναγνοῦσιν ἀναισθήτως ἔχειν τὰ μάλιστα· ταῦτα τοῖς τοιούτοις κομψοῖς καὶ οὐρανοβάμοσι σοφά τε καὶ ὄντως ὄντα δοκείτων καὶ ἀληθέστατα, ἡμῖν δὲ τοῖς περιπεζίοις τε καὶ ὑλαίοις καὶ μηδαμοῦ μηδαμῶς μηδὲ ἓν βιβλιδάριον ἀναγνοῦσι πάντῃ ἔκφυλά τε δοκοῦσι καὶ ἀποδάσμια καὶ ἀληθείας πορρωτάτω ἐκτρέχοντα καὶ κωμῳδίας ἐπάξια ὡς τρὶς ἄθλια καὶ τρὶς ταλαίπωρα ἔκγονα φρενὸς ἐξεστηκυίας, πεπαταγμένης καὶ ἀπαγοῦς. δεινὸν γὰρ ἂν εἴη καὶ ἄτοπον, εἰ Εὐριπίδης οὐκ ὢν φιλόσοφος ἐκωμῳδήθη, σώφρων μᾶλλον εἰπὼν

---

1. ὅτι τῶν ἀναίμων οὐδὲν ᾠοτοκεῖ] Aristot. de generat. anim. II, 1 p. 732 a 28: τῶν δὲ τοιούτων τὰ μὲν ἔναιμα ᾠοτοκεῖ, τὰ δ' ἄναιμα σκωληκοτοκεῖ. 2. ὡς ὁ ἐχῖνός τε ᾠὰ πέντε γεννᾷ] Aristot. de part. anim. IV, 5 p. 680 b 3: ἔχουσι δ' οἱ ἐχῖνοι πάντες ἴσα τε τῷ ἀριθμῷ τὰ ᾠὰ καὶ περιττά· πέντε γὰρ ἔχουσιν. 3. ὡς ὀδόντας ἔχει ἡ μέλισσα] Aristot. de part. anim. IV, 6 p. 683 a 3: ὅσα δὲ μή ἐστιν αὐτῶν ἐμπροσθόκεντρα, ὀδόντας ἔχει, τὰ μὲν ἐδωδῆς χάριν, τὰ δὲ τοῦ λαμβάνειν καὶ προσάγεσθαι τὴν τροφήν, οἷον οἵ τε μύρμηκες καὶ τὸ τῶν μελιττῶν πασῶν γένος. 8. ἀναγνοιοῦσιν ed., ἀναγνοῦσιν vir doctus in Mus. Rhen. *N. F.* VI p. 111. 10. ὑλαίοις] χυδαίοις malim.

11. πάντῃ] πάντα scripsit Keilius, qui πάντῃ in codice legi testatur.

13. τρὶς ἄθλια καὶ τρὶς ταλαίπωρα] τρισάθλια καὶ πρισταλαίπωρα ed. cui scribendi generi iam supra p. 67 a nobis improbato et rationes obstant gravissimae et testimonium tituli Christiani C. I. 8668 vol. 4 p. 312. hunc locum apponendum duxi propter unum Bergkium, qui nuper Lyr. p. 719 ed. tert. in Archilochi fr. 129 τὴν τρισοιζύρην πόλιν scripsit. eundem errorem olim commiserat adeo Lobeckius Paral. p. 472, sed dudum ipse correxerat Pathol. elem. I p. 585.

15. σώφρων μᾶλλον εἰπὼν] verba corrupta, quorum medelam desidero.

ὁ πανδαὴς καὶ αἰθέριος καὶ πάντας ἁπλῶς σοφοὺς διασύρων, ψυχὴν ἀθανατωτέραν εἰπὼν καὶ μυρία μυριάκις ἕτερα ἄτοπα, εἰ μὴ κἂν ὡς ἀφιλόσοφος Εὐριπίδης — ἀλλά μοι παρατροχάσαντι τόσον πάλιν ἀναληπτέον τοῦ λόγου τὰ καίρια.

2. αἱ σκηνικαὶ βίβλοι, ὧν καὶ αἱ τῆς κωμῳδίας εἰσίν, ὡς καὶ προλαβὼν πρότερον εἴρηκα, καὶ ὠρθώθησαν καὶ πολλοῖς ἀνδράσιν ἐπεξηγήθησαν, καὶ ἥκιστον ἢ ἐλάχιστον τὸ ἐπιλήψιμον ἔχουσιν.

3. ἐπεὶ δὲ Σαπφὼ σὺ τὴν ἐμὴν ἐθέλεις τὸ νῦν ἐμφιλοχωρῆσαι συγγράμματι καὶ τὴν Γοργὼ δὲ Πειθώ τε καὶ τὴν μεγαλοπρεπεστάτην Πολύμναν καὶ Ἀφροδίτην λόγου καὶ Χάριτας περιχορεῦσαι τὸ ἐναρμόνιον,

τοὶ μὲν ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον.

ἱστορία. ἡ Σαπφὼ μελῶν λυρικῶν ὑπῆρχε ποιήτρια Μιτυληναία οὖσα τῷ γένει, Σκαμανδρωνύμου θυγάτηρ· Χάραξος δὲ ἦν αὐτῆς ἀδελφός, ὃς τὴν Ῥοδῶπιν τὴν ἑταιρίδα ἐκ Ξάνθου ὠνήσατο, Ἰάδμονος δούλην ὑπάρχουσαν, σύνδουλον δὲ τοῦ λογοποιοῦ καὶ μυθογράφου Αἰσώπου, καὶ ταύτῃ συνῆν· καὶ τούτου ἕνεκεν ἡ ἀδελφὴ τούτου Σαπφὼ μέλει ἐνὶ τῶν αὐτῆς καθάπτεται οὐ μετρίως ......
ἱστορία. Γοργὼ δὲ θυγάτηρ ἦν Κλεομένους τοῦ Σπαρτιατῶν βασιλέως, γυνὴ δὲ Λεωνίδου ἐκείνου τοῦ βασιλέως καὶ στρατηγοῦ, πάνυ ἐχέφρων καὶ νουνεχής. καὶ γὰρ ἐνναετὴς οὖσα ἔπεισε πατέρα τὸν ἑαυτῆς μὴ πεισθῆναι Ἀρισταγόρᾳ τῷ Ἱστιαίου γαμβρῷ καὶ ἀνεψιῷ,

---

8. τὸ νῦν] τῷ νῦν ed. ἐμφιλοχορῶσαι cod., ἐμφιλοχωρῆσαι v. d. in Mus. Rhen. *N. F.* VI p. 112. 9. Γοργὼ δὲ] Γοργὼ δὲ τὸ Κλεομένους θυγάτριον ed. verba τὸ Κλεομένους θυγάτριον delevi. 10. Πολύμνιαν] Πολυμνίαν ed. 12. τοὶ μὲν — ἄκουσον] cf. Il. Α, 76: τοιγὰρ ἐγὼν ἐρέω, σὺ δὲ σύνθεο καί μοι ὄμοσσον. Ζ, 334 sive Od. σ, 129: τούνεκά τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον. Od. ο, 318 sive ω, 265: ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον. 14. θυγάτηρ] θυγατὴρ ed. 15. Ῥοδῶπιν] Ῥόδωπιν ed. in codice Ῥοδόπην δὲ τὸ ὅρος m. sec. supra scr. 18. post μετρίως in codice ὄχτρὸς legi tradit Keilius, qui δεύτερον scribendum esse coniecit. 19. θυγάτηρ] θυγατὴρ ed. 22. Ἀρισταγόρῳ cod., Ἀρισταγόρᾳ Keilius.

εἰποῦσα· ἀπατήσει σε ὁ ξένος, πάτερ, εἰ μὴ ἀποστῇς ἀπ' αὐτοῦ. καὶ ὕστερον δὲ παρὰ Δημαράτου γράμμα σταλὲν πίνακι κεκηρωμένῳ διὰ φόβον ὁδοφυλάκων δηλοῦν τοῖς Λάκωσι πάντα τὸν Ξέρξου σκοπόν, μηδενός δέ τι γνῶναι ἰσχύοντος, αὕτη τοῖς Λάκωσιν εἶπε, καὶ ξέσαντες τὸν κηρὸν εὗρον γράμματα δηλοῦντα τὸν Ξέρξου σκοπόν. τοιαύτη μὲν ἦν ἡ Γοργώ· ὁ δὲ ταύτης πατὴρ Κλεομένης μανεὶς μεληδὸν ἑαυτὸν κατέτεμεν, ἀπὸ κνημῶν ἀπαρξάμενος μέχρι γαστρὸς καὶ ἐντοσθίων αὐτῶν. ἱστορία. ἡ Πειθὼ μία ἐστὶ τῶν Χαρίτων. ἡ Πολύμνια μία ἐστὶ τῶν Μουσῶν. οὕτω μὲν ταῦτα καθ' ἱστορίαν καὶ πραγματικῶς ἔχουσιν· ἐγὼ δὲ χαριεντιζόμενος παραχλιτικῶς οὕτως εἶπον τὰς τέσσαρας χάριτας τοῦ λόγου καὶ ἀρετάς, τήν τε σαφὴν καὶ τὴν συντομίαν τὸ πιθανόν τε καὶ αὐτὴν τὴν μεγαλοπρέπειαν. ὁ γὰρ τῶν ὀνομάτων ἑλληνισμὸς καὶ τῶν λέξεων ἐργάτης τῆς σαφηνείας ἐστίν.

4. περὶ ποιητῶν πολλάκις ὑμῖν ἐδιδάξαμεν καὶ περὶ τῆς ἀγοραίας καὶ ἀγυιάτιδος κωμῳδίας καὶ ἀγυρτίδος, ὅτι γεωργῶν εὕρημα καὶ ὅτι τραγῳδίας μήτηρ ἐστὶ καὶ σατύρων· νῦν δὲ περὶ τῆς λογίμης ὑμῖν κωμῳδίας μοί ἐστι διδακτέον. αὕτη ἡ κωμῳδία τριττή ἐστι, πρώτη, μέση καὶ ὑστέρα· ὧν τῆς μὲν πρώτης ἦν γνώρισμα λοιδορία συμφανὴς καὶ ἀπαρακάλυπτος· τῆς μέσης δὲ καὶ δευτέρας ἦν γνώρισμα τὸ συμβολικωτέρως καὶ μὴ καταδήλως λέγειν τὰ σκώμματα, οἷον τὸν βέψασπιν στρατηγὸν ἀετὸν ὄφιν ἀσπίδα κρατήσαντα καὶ δηχθέντα ὑπ' αὐτῆς αὐτὴν ἀπορρῖψαι· ἐχρᾶτο δὲ αὕτη ἡ μέση τοῖς συμβολικοῖς τούτοις σκώμμασιν ὁμοίως ἐπί τε ξένων καὶ πολιτῶν· καὶ ἡ τρίτη δὲ καὶ ὑστέρα συμβολικῶς ὁμοίως ἐχρᾶτο

---

4. μηδένα cod., μηδενὸς Keilius. 7. μελοδὸν cod., μεληδὸν Keilius. ἀπαρξάμενος] ἀρξάμενος malim. 9. Πολύμνια] Πολυμνία ed. 10. 11. παραγκλιτικῶς cod., παρακλιτικῶς Keilius, fortasse παρεγκλιτικῶς praeferendum. 11. τὰς τέσσαρας — ἀρετάς] cf. Tzetz. Chil. 12, 581 sqq. 16. ἀγυιάτιδος] ἀγυιατίδος ed. 18. ἡμῖν cod., ὑμῖν Keilius, qui dubitat an ἡμῖν retinendum et mox pro μοι, quod non satis certo se legisse significarit, καὶ scribendum sit. 23. δειχθέντα cod., δηχθέντα Keilius. ἀπορρῖψαι] ἀπόρριψαι ed.

τοῖς σκώμμασιν, ἀλλὰ κατὰ δούλων καὶ ξένων, οὐ μέντοι γε κατὰ πολιτῶν· ἤδη γὰρ οἱ πολῖται ἀδικεῖν ἀναιδέστερον ἤρξαντο καὶ οὐκ ἤθελον παρὰ ποιητῶν τῶν καὶ διδασκάλων καλουμένων ἐλέγχεσθαι. τῆς οὖν κωμῳδίας τῆς καλουμένης πρώτης πρῶτος καὶ εὑρετὴς γέγονεν ὁ Μεγαρεὺς Σουσαρίων ὁ Τριποδίσκιος, υἱὸς ὢν Φιλίννου, ὃς φαύλῃ γυναικὶ συνοικῶν ἀπολιπούσῃ αὐτὸν Διονυσίων ἠγμένων εἰσελθὼν εἰς τὸ θέατρον τέσσαρα ἰαμβεῖα ταυτὶ ἀνεφθέγξατο, ἃ μόνα τῶν ἐκείνου συγγραμμάτων φέρονται, τῶν ἄλλων ἁπάντων ἠφανισμένων·

ἀκούετε, λεῴ, Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίννου Μεγαρόθεν Τριποδίσκιος·
κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ.

οὕτως ἡ πρώτη κωμῳδία τὸ σκῶμμα εἶχεν ἀπαρακάλυπτον· ἐξήρκεσε δὲ τὸ ἀπαρακαλύπτως οὑτωσὶ κωμῳδεῖν μέχρις Εὐπόλιδος. ἐπεὶ δ' οὗτος εἰς Ἀλκιβιάδην τὸν στρατηγὸν ἀπέρριψε σκῶμμα καὶ φανερῶς τὴν τραυλότητα τούτου διελοιδόρησεν, ἔτυχον δὲ τότε καὶ ταῖς τριήρεσιν ὄντες ὡς ναυμαχίας προσδοκωμένης, κελεύει τοῖς στρατιώταις συλλαβεῖν αὐτόν, καὶ ἢ ἅπαξ ἐκβράττουσιν αὐτὸν εἰς τὴν θάλατταν καὶ ἀπώλετο, ἢ σχοίνῳ δεδεμένον ἀνάγοντες καὶ κατάγοντες ἧκαν εἰς θάλασσαν καὶ τέλος περιέσωσαν τοῦτον τοῦ

1. σκώμμασιν] σκώμμασι ed. 5. Φιλίννου] Φιλίνου alibi legitur. 6. ἠγμένων] ἀγομένων malim. 8. φέρονται] ἐφεύρονται cod., in quo ἐφεύρεται correctum est. φέρονται scripsi ex Schol. Dionys. Thr. p. 748, 21 et Anecd. Paris. vol. 1 p. 3, 24. 10 — 13. ἀκούετε — ἄνευ κακοῦ] cf. Meinekius Com. 2 p. 3. 10. λεῴ] λεὼς Keilius, qui λέω in codice legi dicit. 13. εὑρεῖν] sic Diomedes III p. 489, 2 ed. K. Suidas v. οὔτε σὺν πανωλέθροισιν atque ipse Tzetzes Anecd. Oxon. vol. 3 p. 336. rectius οἰκεῖν Schol. Ar. Lys. 1038. Schol. Dionys. Thr. p. 748, 25. Anecd. Oxon. vol. 4 p. 316, 3. Anecd. Paris. vol. 1 p. 3, 28. Suid. v. τοὖπος. 17. καὶ] ἐπὶ malim. 19. συλλαβεῖν αὐτὸν] haec verba in cod. omissa accesserunt ex Anecd. Paris. vol. 1 p. 7, 11. 21. ἧκαν] ἦσαν ed.

Ἀλκιβιάδου εἰπόντος αὐτῷ «βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε κατακλύσω ὕδασιν ἁλμυρωτάτοις», καὶ ἢ οὑτωσὶ παντελῶς διεφθαρμένος τοῖς κύμασι τῆς τε φανερᾶς καὶ τῆς συμβολικῆς κωμῳδίας ἐπαύθη, ἢ τοῦ τοιούτου θανάτου περισωθεὶς οὐκέτι κωμῳδίαν μετῆλθεν απαρακάλυπτον, ἀλλὰ ψήφισμα θέντος Ἀλκιβιάδου κωμῳδεῖν ἐσχηματισμένως καὶ μὴ προδήλως αὐτός τε ὁ Εὔπολις Κρατῖνός τε καὶ Φερεκράτης καὶ Πλάτων, οὐχ ὁ φιλόσοφος, Ἀριστοφάνης τε σὺν ἑτέροις τὰ συμβολικὰ μετεχειρίσαντο σκώμματα, καὶ ἡ δευτέρα κωμῳδία τῇ Ἀττικῇ ἀνεσκίρτησεν. ὡς δ' ἐπὶ πλέον ἐπεχείρουν οἱ Ἀττικοὶ ἀδικεῖν καὶ οὐδὲ συμβόλοις ἐλέγχεσθαι ἤθελον, ἐψηφίσαντο συμβολικῶς μὲν γίνεσθαι κωμῳδίας, πλὴν κατὰ μόνων δούλων καὶ ξένων, κἀντεῦθεν καὶ ἡ τρίτη κωμῳδία ἐφάνη, ἧς ἦν Φιλήμων καὶ Μένανδρος. ἀλλ' ἐπεὶ τὰς διαφορὰς τῆς λογίμης κωμῳδίας εἰρήκαμεν, λεκτέον ἤδη καὶ πόσα μέρη αὐτῆς.

5. μέρη τῆς κωμῳδίας εἰσὶ τέσσαρα· πρόλογος, μέλος χοροῦ, τρίτον ἐπεισόδιον καὶ τέταρτον ἔξοδος. καὶ πρόλογος μέν ἐστι τὸ μέχρι τοῦ χοροῦ τῆς εἰσόδου· ἡ δὲ ἅμα τῇ εἰσόδῳ τοῦ χοροῦ λεγομένη ῥῆσις μέλος καλεῖται χοροῦ· ἐπεισόδιον δέ ἐστιν μέλος μεταξὺ μελῶν καὶ ῥήσεων δύο χορῶν· ἔξοδος δέ ἐστιν ἡ πρὸς τῷ τέλει τοῦ χοροῦ ῥῆσις. καὶ ταῦτα μέν εἰσι τὰ μέρη τῆς κωμῳδίας· μέρη δὲ παραβάσεως ἑπτά. πρῶτα δὲ τὰ Διονυσίου καὶ Κράτητος καὶ Εὐκλεί-

---

1. 2. βάπτε — ἁλμυρωτάτοις] similiter Anecd. Paris. vol. 1 p. 7, 15: βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε ἁλμυροῖς ὕδασι κατακλύσω. respicitur epigramma in Schol. Aristid. p. 444 traditum, de quo v. Bergkii Lyr. p. 473 ed. alt. 2. ἢ οὕτως ἢ ed., ἢ οὑτωσὶ scripsi. 5. ψήφισμα θέντος] ψηφισμαθέντος ed. 9. ἀνεσκίρτησεν] ἐπεσκίρτησεν coniecit Keilius. ἐπὶ πλέον] ἐπίπλεον ed. 18. μέλος μεταξὺ] μέρος μεταξὺ C. Wachsmuth de Cratete Mall. p. 59. fortasse λόγος μεταξὺ praeferendum coll. Tzetz. in Anecd. Oxon. vol. 3 p. 340, 22. 343, 28. sed μέλος μεταξὺ praebent etiam Anecd. Paris. vol. 1 p. 8, 13.
19. ῥήσεων] ὀρχήσεων coniecit C. Wachsmuth. 21. Διονυσίου] Dionysii μουσικὴν ἱστορίαν respici suspicatur Meinekius Com. 2 p. 1240, Dionysium Zopyrum malit intellegi Keilius Mus. Rhen. *N. F.* VI p. 130. ab utroque dissentit Bergkius in Sophoclis ed. Tauchnitz,

δου ῥητέον μοι, ἔπειτα δὲ τὰ ἡμέτερα ταῦτα σαφῶς ἐκδιδάξοντι. οὐδὲ γὰρ οὐδ' ἁβρὰ τράπεζα μὴ μετὰ τροφῆς ἔνδειαν οὐδὲ γαλήνη μὴ μετὰ τρικυμίας καὶ κλύδωνα οὐδ' ἡ ὡραιότης καὶ ἀρετὴ καὶ χάρις τοῦ λόγου σαφὴν τοσοῦτον οἶδεν εὐφραίνειν, εἰ μὴ μετὰ τὴν κατ' Ἐμπεδοκλέα μελάγκουρον, κατὰ δὲ Τζέτζην τοῦλαν καὶ κερκεσύραν περιεπιστάτην ἀσαφείας· καὶ μᾶλλον εἰ σοφοῖς λόγοις αὐτὴ ἑαυτῇ ἀντιβαίνουσα γίνοιτο ὁτὲ μὲν ἀρνίον, ὁτὲ δὲ τραγίον, ὁτὲ δὲ κόνδουρον ἀειδάριον, καὶ δὴ κριτικωτάταις ἠκροᾶσθε ταῖς ἀκοαῖς. ὁ χορός, φασίν, ὁ κωμικὸς εἰσήγετο τῇ ὀρχήστρᾳ, ἣν καὶ λογεῖον καλοῦμεν, καὶ διαλεγόμενος μὲν τοῖς ὑποκριταῖς μέτροις ἑτέροις πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμῳδίας, ἀπελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς τὸν δῆμον ὁρῶν ἐκ τετραμέτρων ἑκκαίδεκα στίχους ἀναπαίστους ἐφθέγγετο, καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους ἑκκαίδεκα τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο τοῦτο ἀντίστροφος· ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον. ἡ ὅλη δὲ πάροδος τοῦ χοροῦ καλεῖται παράβασις. ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος ἔβαινεν· εἰ δ' ὡς ἀπ' ἀγροῦ, διὰ τῆς δεξιᾶς ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ, πρὸς μόνους ὁρῶν τοὺς ὑποκριτάς· ὧν ἐξελθόντων ὁ χορὸς ἑπτάκις στρεφόμενος πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ἑώρα· τὸ δ' ἑπτάστροφον ὄρχημα τοῦτο

---

p. XXXIV. Κράτητος καὶ Εὐκλείδου] cf. Meinek. Com. 2 p. 1240 et H. Iacobi Com. 5 p. CLXI.

1. ἔπειτα δὲ] ἔπειτα καὶ scripsit Keilius. fortasse ἐκδιδάξοντι vitiosum est, cuius loco nescio an ἐκδιδάξονται scribendum sit. 2. εὔδειαν cod., εὐδίαν Keilius, ego ἔνδειαν reposui. 4. σαφὴν] an καὶ σαφῆ leg.? 5. κατ' Ἐμπεδοκλέα μελάγκουρον] spectant haec verba ad Emped. 396: Νημερτής τ' ἐρόεσσα μελάγκουρός τ' Ἀσάφεια. cf. Tzetz. Chil. 12, 574. 5. 6. τοῦλαν καὶ κερκεσύραν περιεπιστάτην] verba obscurissima quo modo interpreter aut emendem non habeo. 6. ἀσαφείας] ἀσάφειαν exspectes. 8. ἀειδούριον ed., ἀειδάριον scripsi. ἠκροᾶσθε] ἀκροᾶσθε malim. 12. ἑκκαίδεκα] ις ed. 17. ἀψῖδος] ἀψῖδος ed. 20. ὄχημα ed., ὄρχημα correxi e Tzetz. Anecd. Oxon. vol. 3 p. 341, 18. olim σχῆμα proposui, quod ipsum praebent Anecd. Paris. vol. 1 p. 8, 18.

παράβασις ἐκαλεῖτο τῷ γένει, καὶ ἡ πρώτη δὲ ὄρχησις ὁμωνύμως τῷ γένει παράβασις, τὸ τρίτον μακρὸν καὶ πνῖγος, τὸ τέταρτον ᾠδὴ καὶ στροφή, τὸ πέμπτον ἐπίρρημα, τὸ ἕκτον ἅμα ἀντῳδὴ καὶ ἀντίστροφος, τὸ δὲ ἕβδομον ἀντεπίρρημα. ταυτὶ μὲν τῶν ἀνδρῶν εἰσὶν ὥνπερ ἔφημεν, κἄνπερ ἡμεῖς συντόμως καὶ ταῦτα καὶ σαφεστέρως εἰρήκειμεν· τὸ ἀρνίον δὲ καὶ τραγίον σκοπεῖτε. τούτοις ἡ στροφὴ καὶ ἀντίστροφος ἀνωτέρω μὲν ἐπίρρημα ἐκαλεῖτο, νῦν δὲ ἡ ᾠδὴ καλεῖται καὶ στροφή, τὸ δὲ μετ' αὐτὴν πέμπτον μέρος ἐπίρρημα, ἡ ἀντῳδὴ δὲ καὶ ἀντίστροφος, ἀντεπίρρημα δὲ τὸ ἕβδομον μέρος· ὥστε συμβαίνειν τὸ ἐπίρρημα πεντώνυμον γίνεσϑαι, ἔχειν μὲν τὴν ἑαυτοῦ κλῆσιν, καλεῖσϑαι δὲ καὶ στροφὴν καὶ ἀντίστροφον. ἡ δὲ ᾠδὴ κατ' αὐτοὺς καλεῖται καὶ στροφή, ὡς ἡ ἀντῳδὴ καὶ ἀντίστροφος. ἀλλὰ ταῦτα μὲν οἱ κομψοπρεπεῖς ἐξηγηταὶ καὶ διδάσκαλοι· οἷς εἴ που κἂν μιᾶς λέξεως ἀβασανίστως ἐπείσϑην, εὐϑὺς κατ' αὐτοὺς ἀνηρτημένος μετέωρος ἰκρίων τοῦ ψεύδους ἀρίδηλος γέγονα

τόργοισιν αἰώρημα φοινίοις δέμας·

ὡς ἄρτι ποτὲ τὴν ἐφήβων ἡλικίαν πατῶν καὶ τὸν αἰϑέριον ἐξηγούμενος Ὅμηρον, πεισϑεὶς Ἡλιοδώρῳ τῷ βδελυρῷ εἶπον συνϑεῖναι τὸν Ὅμηρον ἐπὶ Πεισιστράτου ἑβδομήκοντα δύο σοφούς, ὧν ἑβδομήκοντα δύο εἶναι καὶ τὸν Ζηνόδοτον καὶ Ἀρίσταρχον· καίτοι τεσσάρων ἀνδρῶν ἐπὶ Πεισιστράτου συνϑέντων τὸν Ὅμηρον, οἵτινές εἰσιν οὗτοι,

---

1. 2. καὶ ἡ πρώτη δὲ ὄρχησις ὁμωνύμως τῷ γένει παράβασις] ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους Anecd. Oxon. vol. 3 p. 341, 20. contra Anecd. Paris. vol. 1 p. 8, 16: ἡ μὲν οὖν πρώτη ὄρχησις κομμάτιον ἐλέγετο, ἡ δὲ δευτέρα παράβασις ὁμωνύμως τῷ γένει ἐκαλεῖτο. 6. δὲ] τε coniecit Keilius. 9. ἕβδομον] ζ̄ ed. 10. πεντώνυμον] cf. Anecd. Paris. vol. 1, p. 8, 32. 13. εἴ που] εἴπου ed. 14. μιᾶς] μέχρι μιᾶς malim. 16. τόργοισιν — δέμας] Lycophr. 1080, quod vidit Keilius.

17. τὴν ἔφηβον ἡλικὸν πασῶν edidit Keilius, qui pro ἡλικὸν in codice ἡλιξ' esse testatur; τὴν ἐφήβων ἡλικίαν πατῶν scripsi. imitatur Tzetzes Pind. Ol. 1, 115. 17. 18. ἐξηγούμενος Ὅμηρον] v. Tzetz. Exeg. Il. p. 45 sq. et p. 125. 18. Ἡλιοδώρῳ] cf. Ritschl *Die Alexandr. Bibl.* p. 146 sq. et H. Keil Mus. Rhen. *N. F.* VI p. 132 sq.

Ἐπικόγκυλος, Ὀνομάκριτος Ἀθηναῖος, Ζώπυρος Ἡρακλεώτης καὶ Ὀρφεὺς Κροτωνιάτης· Ζηνοδότου δὲ χρόνοις ὑστέροις ἐπὶ τοῦ Φιλαδέλφου αὐτὸν ἀνορθώσαντος, ἔπειτα δὲ πάλιν τοῦ Ἀριστάρχου. ταῦτα μέν μοι Ἡλιοδώρῳ συμπέπτωκεν· τοῖς δὲ τραγικὰς βίβλους ἐξηγησαμένοις πεισθείς, οἷς καὶ οὗτοί φασι τὰ αὐτά, εἶπον Ὀρέστην καὶ Ἄλκηστιν Εὐριπίδου καὶ τὴν Σοφοκλέους Ἠλέκτραν εἶναι σατυρικὰ δράματα ὡς ἀπὸ πένθους εἰς χαρὰν καταλήγοντα, καὶ οὕτω μέτροις καὶ λοιποῖς μου συγγράμμασιν γράφων ἐδίδασκον, ἕως ἀναγνοὺς Εὐριπίδου πολλὰ δράματα εὗρον καὶ ἔγνων τὰ σατυρικὰ δράματα τέρψεις θυμελικὰς ἀμιγεῖς καὶ γέλωτα φέροντα. ἐῶ τοὺς πολλοὺς καὶ τοὺς λεξιγράφους ὁμ⌣ ἃ ἠγνόησαν εἴς τε λέξεις τινὰς καὶ ἱστορίας καὶ ἕτερα καὶ τοῦ ποιητοῦ κατεψεύσαντο ὥσπερ καὶ οἱ προκείμενοι ἄνδρες τοῖς περὶ τῶν σκηνικῶν τῶνδε δραμάτων διδάγμασιν, ὡς ἀπ' αὐτῶν τῶν βίβλων ἐλέγχονται. ἀλλὰ παρέντες τὰ περιττά, σαφῶς, συντόμως καὶ ἀληθῶς καὶ ὡς ὁ νοῦς ἔχει τῆς βίβλου ταῦτα ἐκθείημεν· πᾶς δὲ ἀληθείας ἐρῶν κριτικωτάτως βασανιζέτω τὸ σύγγραμμα.

II. Ἑτέρα ἀρχή.

1. Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς ἀλλὰ καὶ Ζηνόδοτος ὁ Ἐφέσιος τῷ Φιλαδέλφῳ Πτολεμαίῳ συνωνηθέντες βασιλικῶς, ὁ μὲν τὰς τῆς τραγῳδίας, Λυκόφρων δὲ τὰς τῆς κωμῳδίας βίβλους διώρθωσαν, Ζηνόδοτος δὲ τὰς Ὁμηρείους καὶ τῶν λοιπῶν ποιητῶν. ὁ γὰρ ῥηθεὶς βασιλεὺς Πτολεμαῖος, ἡ φιλοσοφωτάτη τῷ ὄντι καὶ θεία ψυχή, καλοῦ παντὸς καὶ θεάματος καὶ ἔργου καὶ λόγου τελῶν ἐπιθυμητής, ἐπεὶ διὰ Δημητρίου τοῦ Φαληρέως καὶ

---

1. Ἐπικόγκυλος] nomen inauditum et incredibile, de quo multas prolatas vidimus suspiciones, ad ἐπικὸν κύκλον revocandum esse statuit Cramer Anecd. Paris. vol. 1 p. 16. cf. Rothius in Mus. Rhen. *N. F.* VII p. 137. **5.** καὶ οὗτοι] Dionysius, Crates, Euclides dici videntur. **10.** ἐῶ] καὶ ἐῶ coniecit Keilius. **11.** ὁμ⌣ ἃ] Ὁμηρικοὺς ἃ Keilius. vitiosae scripturae emendatio incerta. **18.** ἑτέρα ἀρχή] βίβλος Ἀριστοφάνους Τζέτζην φορέουσ' ὑποφήτην adscr. m. sec.

γερουσίων ἑτέρων ἀνδρῶν δαπάναις βασιλικαῖς ἁπανταχόθεν τὰς βίβλους εἰς Ἀλεξάνδρειαν ἤθροισεν, δυσὶ βιβλιοθήκαις ταύτας ἀπέθετο, ὧν τῆς ἐκτὸς μὲν ἦν ἀριθμὸς τετράκις μύριαι δὶς χίλιαι ὀκτακόσιαι, τῆς δ' ἔσω τῶν ἀνακτόρων καὶ βασιλείου βίβλων μὲν συμμιγῶν ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἁπλῶν δὲ καὶ ἀμιγῶν βίβλων μυριάδες ἐννέα, ὡς ὁ Καλλίμαχος νεανίσκος ὢν τῆς αὐλῆς ὑστέρως μετὰ τὴν ἀνόρθωσιν τοὺς πίνακας αὐτῶν ἀπεγράψατο. Ἐρατοσθένης δὲ ὁ ἡλικιώτης αὐτοῦ παρὰ τοῦ βασιλέως τὸ τοσοῦτον ἐνεπιστεύθη βιβλοφυλάκιον. ἀλλὰ τὰ Καλλιμάχου καὶ τοῦ Ἐρατοσθένους μετὰ βραχύν τινα χρόνον ἐγένετο τῆς συναγωγῆς τῶν βίβλων, ὡς ἔφην, καὶ διορθώσεως, κἂν ἐπ' αὐτοῦ τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου. τότε δὲ συνηθροισμένων ἁπασῶν τῶν βίβλων τῶν Ἑλληνίδων καὶ ἔθνους παντὸς καὶ σὺν αὐταῖς τῶν Ἑβραίων ἐκεῖνος ὁ ἀφειδὴς βασιλεύς, ὢν ποταμὸς χρυσορόας, ἀλλ' ἑπταστόμως ἐκρέων, τὰς ἐθνικὰς μὲν ὁμογλώσσοις ἐκείνων ἀνδράσι σοφοῖς καὶ ἀκριβῶς ἑλληνίζουσιν εἴς τε γραφὴν ὁμοῦ καὶ γλῶσσαν Ἑλλάδα μετήμειψεν, ὡς καὶ τὰς Ἑβραΐδας δι' ἑβδομήκοντα δύο ἑρμηνευτῶν Ἑβραίων σοφῶν πεφυκότων καθ' ἑκατέραν διάλεκτον. τὰς ἐθνικὰς μὲν οὕτω μετεποίησε βίβλους· τῶν Ἑλληνίδων δὲ βίβλων, ὡς καὶ προλαβὼν ἔφην, τὰς τραγικὰς μὲν διώρθωσε δι' Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ, τὰς τῆς κωμῳδίας δὲ διὰ Λυκόφρονος, διὰ δὲ Ζηνοδότου τοῦ Ἐφεσίου τὰς τῶν λοιπῶν ποιητῶν. τὰς Ὁμηρείους δὲ κατ' ἐξαίρετον πρὸ διακοσίων καὶ πλειόνων ἐνιαυτῶν Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ τῆς διορθώσεως Ζηνοδότου συντέθεικεν σπουδῇ Πεισίστρατος παρὰ τῶν τεσσάρων τούτων σοφῶν, Ἐπικογκύλου Ὀνομακρίτου τε Ἀθηναίου

---

3. τετράκις μύριαι δὶς χίλιαι] τετρακισμύριαι δισχίλιαι ed. 3. 4. ὀκτακόσιοι cod., ὀκτακόσιαι Keilius. 4. 5. συμμιγῶν] συμμικῶν cod., συμμίκτων ed. Keilius, qui συμμιγῶν fortasse probabilius esse addidit. 5. ἀμιγῶν] ἀμισγῶν ed. 6. τῆς αὐλῆς ὑστέρως] verba corrupta et fortasse lacunosa. 8. δὲ addidit Keilius. 11. μετ' cod., ἐπ' Keil. 12. ἁπάντων cod., ἁπασῶν Keil. 22. κατ' ἐξαίρετον] κατεξαίρετον ed. 24. Πεισίστρατος] sic ed., πεισιστρα̃ cod. παρὰ delendum esse coniecit Lehrsius. 25. Ἐπικογκύλου] ἐπὶ Κογκύλου ed.

Ζωπύρου τε Ἡρακλεώτου καὶ Κροτωνιάτου Ὀρφέως. οὕτω μὲν ἐν χρόνοις τοῦ Πεισιστράτου τοῖς τέσσαρσι τούτοις σοφοῖς αἱ Ὁμηρικαὶ συγγραφαὶ τεμαχίοις περιφερόμεναι συνετέθησαν καὶ βίβλοι ἐγένοντο. χρόνοις δ', ὡς ἔφην, τοῦ Φιλαδέλφου παρὰ τοῦ Ζηνοδότου ὠρθώθησαν· μετὰ δὲ Ζηνόδοτον Ἀριστάρχῳ πάλιν ὠρθώθησαν τετάρτῳ ἢ πέμπτῳ ἀπὸ Ζηνοδότου τελοῦντι· κἂν ὁ πεφυρμένος καὶ βδελυρὸς Ἡλιόδωρος οὐκ εἰδὼς ὅτι ληρεῖ φύρῃ καὶ πάντα σύμμικτον κυκεῶνα, μᾶλλον δὲ κοπρεῶνα ποιῇ, ἐπὶ Πεισιστράτου τὸν Ὅμηρον συντεθῆναι καὶ ὀρθωθῆναι ληρῶν παρὰ τῶν ἑβδήμοντα δύο, ἐπεκκριθῆναι δὲ πάντων τὴν Ζηνοδότου καὶ Ἀριστάρχου σύνθεσίν τε καὶ διόρθωσιν, καὶ ἡμᾶς ἔτι νεάζοντας καὶ πρώτους ὑπηνήτας τελοῦντας ἔπεισεν οὑτωσί που ἐξηγουμένους τὸν Ὅμηρον, ὡς καὶ ἕτεροί τινες κομψοὶ καὶ αἰθεροβάμονες, οἷς ἂν καὶ μέχρι μιᾶς λέξεως ἀβασανίστως ἐπείσθην, καὶ μὴ ἐκ τοῦ κειμένου τῆς παλαιᾶς βιβλίου τὸ ἀληθὲς ἀπηκρίβωσα, κατ' ἐκείνους παραληρῶν ἐφαινόμην, ἀλλ' ἅπαξ καὶ δὶς τοῦτο παθὼν τῷ νεάζοντι, τῷ πάθει μάθος ἐθέμην· καὶ τούτους μὲν ἥγημαι κομψοὺς αἰθερίους, αὐτὸς δὲ ἐκ τῶν κειμένων ἀνθέων τῶν βίβλων ὥσπερ τις μέλισσα φιλεργὸς ὁποῖα δυναίμην σιμβλοποιῶ, οἶμαι δὲ καὶ τῷ μέλιτι πολλοὺς διεκτρέφω. κἂν μυῖαί τινες δυσμενεῖς, ὡς οὐδὲ τῷ Ἀττικῷ οὐδὲ τούτῳ ἰζῆσαι δυνάμεναι, ὅμως λάθρᾳ σὺν ὁμοτρόποις περιπτάμεναι περιβομβοῦ-

---

6. πέμπτῳ] ε̄ ed. καὶ ὁ πεφυρμένος ed., κἂν ὁ πεφυρμένος correxi. **9.** ἑβδομήκοντα δύο] οβ̄ ed. **10.** ἐπεκκριθῆναι] ἐπεκριθῆναι ed. an ἐγκριθῆναι legendum? **12.** οὕτως ἔτι που ed., οὕτως ἐτπ̈ cod., οὑτωσί που scripsi. **14.** ἀβανίστως cod., ἀβασανίστως Keilius. cf. p. 241, 14. τῆς παλαιᾶς] haec verba vitio laborare videntur. Keilius quod sequitur βιβλίου in βίβλου mutavit. **16.** τοῦτο] ταὐτὸ Keilius. **16. 17.** τῷ πάθει μάθος ἐθέμην] flosculus delibatus ex Aesch. Agam. 177: τῷ (τὸν Porsonus) πάθει μάθος θέντα κυρίως ἔχειν. cf. Tzetz. Epist. 41 p. 36: τῷ πάθει μάθος τιθεὶς ἐφρένωσα ἐμαυτόν. Schol. Tzetz. in Anecd. Oxon. vol. 3 p. 381, 17: Ἕκτωρ δὲ τῷ πάθει θέμενος μάθος. **18.** φιλεργὸς] φίλεργος ed. **20.** δυσμενεῖς] δυσγενεῖς in codice correctum, quam scripturam fortasse recte praetulit Keilius.

σιν ἀνήκουστά τε καὶ παράληρα — ἀλλά μοι τόσον τροχάσαντι ἀναληπτέον πάλιν τοῦ λόγου τὰ καίρια.

2. περὶ ποιητῶν πολλάκις ὑμῖν ἐδιδάξαμεν καὶ διαρκῶς ἕκαστα ἐξεπίστασϑε εἴδη τε τούτων καὶ τὰ γνωρίσματα τῶν σκηνικῶν τε τοὺς χοροὺς ἐκ πόσων ἀνδρῶν καὶ τί ἑκάστῳ τὸ δῶρον, καὶ πῶς ἐφευρέϑησαν, καὶ διὰ τί λέγονται δράματα καὶ οὐ γράμματα. ἀλλὰ καὶ νῦν ἐπιδρομάδην τῶν σκηνικῶν ποιημάτων τὰ καίρια διδακτέον μοι, ἵνα καὶ ψώραν ἐξηγητῶν ταῖς διαφοραῖς ἐκκαϑάρωμεν καὶ τὸ Διονυσίου τε καὶ Εὐκλείδου καὶ Κράτητος σκολίως καὶ πεφυρμένως καὶ ἀπαρατηρήτως γραφὲν εἰς τὸ περὶ μερῶν κωμῳδίας καὶ παραβάσεως εὐϑυτάτως τε καὶ ἀφύρτως μετ᾽ ἐπιστάσεως σαφῶς παραστήσαιμεν κατά τε τὴν πρᾶξιν αὐτὴν καὶ τὸν νοῦν τῶν βιβλίων καὶ τὴν ἀλήϑειαν. καὶ δὴ πρῶτον ἀρκτέον μοι λέγειν τὰς διαφοράς.

3. ἡ κωμῳδία μεμιγμένον τοῖς σκώμμασιν εἶχε τὸν γέλωτα· ἡ τραγῳδία πένϑη καὶ συμφοράς· ἡ σατυρικὴ δὲ ποίησις οὐκ ἀπὸ πένϑους εἰς χαρὰν καταντᾷ, ὡς Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις καὶ ἡ τοῦ Σοφοκλέους Ἠλέκτρα, ὡς κἀμὲ οἱ ἀσκέπτως ληροῦντες ἐξηγηταὶ καὶ γράψαι καὶ διδάξαι ἠπάτησαν, ἀλλ᾽ ἀμιγῆ καὶ χαρίεντα καὶ ϑυμελικὸν ἔχει γέλωτα, οἷον Ἡρακλῆς πραϑεὶς τῷ Συλεῖ γεωργὸς δοῦλος ἐστάλη εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασϑαι· ἀνεσπακὼς δὲ δικέλλῃ προρρίζους τὰς ἀμπέλους ἁπάσας νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα τοῦ ἀγροῦ ψωμοὺς μεγάλους ἐποίησε τὸν κρείττω τε τῶν βοῶν ϑύσας κατεϑοινᾶτο καὶ τὸν πιϑεῶνα δὲ διαρρήξας καὶ τὸν κάλλιστον πίϑον ἀποπωμάσας τὰς ϑύρας τε ὡς

---

1. τροχάσαντι] παρατροχάσαντι Keilius. 6. καὶ διὰ τί] καὶ ὅτι ed. Keilius, qui addit litteras non satis potuisse se dignoscere, fortasse καὶ διὰ τί in codice legi. 11. 12. παραστήσαιμεν] παραστήσωμεν Keilius.

14. σκώμμασιν] σκώμμασι ed. 20. γεωργὸς] ὡς γεωργὸς Anecd. Paris. vol. 1 p. 7, 29. ἐστάλη] ἔσταλται Anecd. Par. 21. ἁπάσας om. Anecd. Par. 22. οἴκημα] οἴκημα γεωργοῦ Anecd.Par. ψωμοὺς] ἄρτους τε Anecd. Par. 23. τῶν κρείττω τε cod., τὸν κρείττω τε Keilius, καὶ τὸν κρείττω Anecd. Par. κατεϑοινᾶτο et δὲ om. Anecd. Par. 24. ἀποπωμώσας ed., ἀποπωμάσας Anecd. Par.

τράπεζαν ϑεὶς ἤσϑιε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ ἐνορῶν φέρειν ἐκέλευεν ὡραῖά τε καὶ πλακοῦντας, καὶ τέλος ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας τὰ πάντα κατέκλυσεν ὁ δοῦλος καὶ ὀρ...... ὁ τεχνικώτατος γεωργός. τοιαῦτα τὰ σατυρικὰ δράματα, οὐχ οἷα γράφουσιν οἱ ἀσκέπτως ληροῦντες καὶ ἐμὲ αὐτὸν ἀπατήσαντες. ἀλλὰ ῥητέον καὶ τί τῷ βίῳ ταῦτα λυσιτελεῖ. ἡ τραγῳδία λύει τὸν βίον, ἡ κωμῳδία δὲ συνιστᾷ, ϑυμελικοῖς δὲ τοιούτοις οἱ σάτυροι καϑηδύνουσι. λυρικοὶ δὲ οἱ καὶ κυκλικοὶ καὶ διϑύραμβοι ἢ ᾔνουν κυδαίνοντες ἀϑλητὰς ἀγῶσι νικῶντας ἢ ὕμνουν Διόνυσον ἢ καὶ ἑτέρους ϑεούς. ἐπεὶ τοσαῦτα σαφῶς ἡμῖν καὶ συντόμως ἐρρήϑη, φέρε καὶ ὅπως ταῦτα τὰ δράματα ἐδιδάσκετο διδακτέον μοι.

4. πρῶτον μὲν ἐν ἐαρινῷ καιρῷ πολυαναλώτοις δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι, πεποικιλμένη παραπετάσμασι καὶ ὀϑόναις λευκαῖς καὶ μελαίναις βύρσαις τε παταγούσαις καὶ χειροτινάκτῳ πυρὶ ὀρύγμασί τε καταγείοις καὶ ὑπογείοις καὶ ὑδάτων δεξαμεναῖς εἰς τύπον ϑαλάσσης ταρτάρου ᾅδου κεραυνῶν καὶ βροντῶν, γῆς καὶ νυκτός, οὐρανοῦ ἡμέρας καὶ ἀνακτόρων καὶ πάντων ἁπλῶς· αὐλάς τε οὐ μικρὰς εἶχεν ἐξειργασμένας καὶ ἀψῖδας εἰς τύπον ὁδῶν. διὰ μὲν οὖν ἀριστερᾶς ἀψῖδος ἐχώρουν, ἂν ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς καὶ ϑέατρα· ἂν δὲ πρὸς πόλιν ὡς ἐκ ϑεάτρων ἢ ἀπ' ἀγροῦ, διὰ δεξιᾶς. τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία.

---

1. ἤσϑιε καὶ] ἦσϑε καὶ ed., ἤσϑιέ τε καὶ Anecd. Par. ἀδὼν ed., ᾄδων Anecd. Par. 4. ὀρ......] ὀργιάζει coniecit Keilius. 7. τὲ cod., δὲ Keilius. 8. τοιούτοις] χαριεντισμοῖς excidisse suspicor, cf. Anecd. Paris. vol. 1 p. 8, 5. οἱ καὶ] sic recte cod., οἳ καὶ Keilius. 9. ᾔνουν] ἐπῄνουν malim cum Anecd. Par. vol. 1 p. 8, 7. 16. καταγαίοις ed., καταγείοις Anecd. Par. vol. 1 p. 9, 6. ὑπογείοις] ὑπογαίοις ed. 18. ἀνακτόροις cod., ἀνακτόρων Keilius cum Anecd. Par. 20. ἀψῖδας ed., ἁψῖδας Anecd. Par. ἀψῖδος ed., ἁψῖδος Anecd. Par. ἂν] εἰ Anecd. Par. 21. καὶ ϑέατρα] ἢ ϑέατρα Anecd. Par. 22. ϑεάτρων] ϑεάτρου Anecd. Par. τοιαῦτα ed., τοιαύτη Anecd. Par.

5. τὰ σκηνικὰ δ' ἀπ' αὐτῆς καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς. σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑποκριτῶν πρόσωπα· πρόσωπα δὲ τοῖς μὲν τραγικοῖς καὶ σατυρικοῖς ἀνὰ δέκα ἓξ ἦσαν, ὁ κωμικὸς δὲ εἶχεν εἴκοσι τέσσαρα· ἃ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων τὰ οἰκεῖα τῷ καθ' ἑνὶ αὐτῶν καὶ οἰκείῳ ἠθροισμένως τι δρῶντα χορὸς ἐκαλεῖτο. διαιρεθεὶς δὲ ὁ χορὸς εἰς μὲν τμήματα δύο ἡμιχόρια ὠνομάζετο, παραχρηστικῶς δὲ καὶ χορός· εἰ δὲ εἰς ἕνα ἕνα ἐτμήθη καὶ μερικόν, ὑποκριταὶ ἁπλῶς ἐκαλοῦντο κοινῷ τῷ ὀνόματι διὰ τὸ μὴ δύνασθαι μιᾷ κλήσει περιληφθῆναι ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. διαιροῦνται γὰρ τὰ μερικὰ ταῦτα εἰς πολλά· εἰς προλογίζοντας, εἰς ἄγγελον, εἰς ἐξάγγελον, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεούς, εἰς ἄλλα μυρία. τούτων οὖν τῶν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν ὀρχήστραν, ἣν ἔφασαν καὶ λογεῖον — τὴν δὲ εἰσέλευσιν ταύτην οὐ μέλον ἐστί μοι ὅπως ἂν καὶ καλέσειας, εἴτε εἴσοδον ἢ εἰσέλευσιν ἢ ἐπήλυσιν ἢ ἐπίβασιν ἢ πάροδον ἢ παράβασιν ἢ ἄλλως πως σημαίνων ταὐτό — εἰσελθὸν οὖν καὶ παραβὰν εἰς τὴν ὀρχήστραν τοῦτο τὸ σύστημα πᾶν, ὃ καὶ χορὸς ἐκαλεῖτο, πρὸς τοὺς ὑποκριτὰς λόγους ποιούμενον τὸ πρόσωπον βλέπον εἶχε πρὸς τὴν σκηνήν· ἐξελθόντων δὲ τῶν ὑποκριτῶν πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον καὶ ἔλεγέ τι ἑκατέροις τοῖς μέρεσιν, εἶτα ἐξήρχετο, καὶ τέλος τὸ δρᾶμα ἐλάμβανε. ταῦτα μὲν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ

---

4. δέκα ἓξ] δεκαὲξ ed. εἴκοσι τέσσαρα] $\overline{\kappa\delta}$ ed. ἃ] ἃ δὴ Anecd. Par. vol. 1 p. 9, 16. **5. 6.** τὰ οἰκεῖα — οἰκείῳ] pro καθ' ἑνὶ saltem καθενὶ exspectes; verum cetera quoque laborant. **6.** ἠθροισμένως τι δρῶντα] ἠθροισμένα δρῶντα ἡ Anecd. Paris. **7.** μὲν om. Anecd. Par. **8.** εἰς ἕνα ἕνα ἐτμήθη καὶ μερικόν] καθ' ἕνα ἐτέμνετο Anecd. Par. **10.** περιληφθῆναι] περιειλῆφθαι Anecd. Par. **11.** εἰς πόσα ed., εἰς πολλά Anecd. Par. **11. 12.** εἰς ἄγγελον, εἰς ἐξάγγελον] εἰς ἀγγέλους, εἰς ἐξαγγέλους Anecd. Par. **12.** εἰς ἄλλα] καὶ εἰς ἄλλα Anecd. Par. **19.** λόγους] τὸν λόγον Anecd. Par. vol. 1 p. 9, 29. **20.** ἐστέφετο ed., ἐστρέφετο Anecd. Par. **23.** τέσσαρα] $\overline{\delta}$ ed.

δράματος, ἡ παράβασις, ἡ στροφή, ἡ ἀντίστροφος καὶ ἡ ἔξοδος· καὶ λογικὰ μέρη αὐτῆς τέσσαρα, ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρόλογος, καὶ ἀντὶ τῆς στροφῆς καὶ τῆς ἀντιστρόφου λόγια καὶ ᾠδὰς καὶ ἀντῳδὰς ἢ ἐπιρρήματα καὶ ἀντεπιρρήματα εἴποις, οὐ διαμάχομαι· καὶ ἡ ἔξοδος ἡ ᾠδὴ καὶ τὸ ῥῆμα τοῦ δράματος τὸ ἐπιτελεύτιον, ἃ οἱ αἰθέριοι καὶ οὐρανοβάμονες λαλοῦσιν ὥσπερ λαλοῦσιν· ἔχετε δὲ ταῦτα τῷ ἐαθέντι μοι προοιμίῳ, ἀλλὰ μακρὰν αὐτῶν ἀποτρέχοιτε, μὴ καὶ ἀκοὰς ὑμῶν καὶ ψυχὰς λυμανθείητε. ταῦτα μὲν τὰ τέσσαρα μέρη πρακτικῶς τε καὶ λογικῶς τῶν δραματικῶν ποιημάτων ὑπῆρχεν. τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη, στροφικὸν καὶ ἀντιστροφικὸν λόγια, ἑκάτερον ἑκατέρῳ ἰσαρίθμους ἔχον τοὺς στίχους καὶ μέτρων τῶν αὐτῶν· πρὸς τοῖς στροφικοῖς δὲ καὶ ἀντιστροφικοῖς τρίτον ἦν μέρος τὸ ἐπῳδικὸν λόγιον, ὁμωνύμως καὶ ταῦτα λεγόμενα τοῖς ἑαυτῶν πρακτικοῖς, τῇ τε στροφῇ καὶ ἀντιστρόφῳ καὶ ἐπῳδῷ ἤτοι ἐξόδῳ καὶ ἐξελεύσει καὶ ἐπιλόγῳ. καὶ γὰρ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερον μέρος τοῦ δήμου ὁρῶντες ἐφθέγγοντο τὰ ποιήματα καὶ τέλει τοῦ δράματος μέλλοντος παύεσθαι τὸν ἐπῳδὸν ἐφθέγγοντο, ἤτοι τὴν ὑστέραν ᾠδήν τε καὶ τὸν ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτὸ περικλείοντες. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῷ εἰσελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ

---

2. τέσσαρα] δ̄ ed. 2. 3. ἀντιπαράβασις ἤγουν πρώτως, δευτέρως πρόλογος ed., ἀντὶ παραβάσεως ἤγουν πρώτης βάσεως πρόλογος Anecd. Par. 3. 4. καὶ ἀντὶ — ἀντεπιρρήματα] ἀντὶ δὲ στροφῆς καὶ ἀντιστρόφου ᾠδὴ καὶ ἀντῳδή, ἐπίρρημα καὶ ἀντεπίρρημα Anecd. Par. vol. 1 p. 10, 1. 4. καὶ ἀντεπιρρήματα] «ante καὶ vocabulum, a quo nova pagina initium capit, alterum καὶ in extrema altera pagina add. cod.» Keil. 5. 6. καὶ ἡ ἔξοδος — τὸ ἐπιτελεύτιον] ἀντὶ δὲ ἐξόδου ᾠδὴ καὶ ῥῆμα ἐξιτήριον Anecd. Par. 7. ἐαθέντι] ἐκτεθέντι temptabam, at ne sic quidem locus sanatus est. 9. τέσσαρα] δ̄ ed. πρακτικῶς τε καὶ λογικῶς] πρακτικὰ καὶ λογικὰ Anecd. Par. 14. ὡμονύμως cod., ὁμωνύμως Keilius. 16. οὐδαμοῦ cod., τοῦ δήμου Keilius cum Anecd. Par. 19. αὐτὸν cod., αὐτῶν Anecd. Par., αὐτὸ scripsi.

προοίμιον. ἕνεκα μὲν τῶν εὐχαρίστων ταῦτα ἐγράφη μοι· ἀποδρεπέσθεσαν δὲ καὶ ὑμεῖς τούτων, γεννήματα ἐχιδνῶν καὶ ἀχάριστοι. φάμενοι δὲ καὶ τὸ γένος τοῦ ποιητοῦ καὶ τὸν σκοπὸν τοῦ δράματος, χωρίσωμεν ἐπὶ τὴν τοῦ κειμένου σαφὴν καὶ σχολίων τινῶν ἀναπλήρωσιν.

Subiungimus hoc loco quae ex Iohannis Tzetzae commentariis Aristophanicis, qui eidem codici Ambrosiano insunt, publici iuris fecit H. Keilius in Mus. Rhen. *F. N.* VI p. 616—618.

Tzetz. in Ar. Nub. 1178: ἕνην, ὡς πάλιν πρώτην μονάδα, νέαν ὡς ἀρχηγὸν ἑτέρου κύκλου οὖσαν,

οὕνεκεν ὀλλυμένη περ ἀέλπτως γίνεται αὖτις,

ὡς Ὀρφεὺς ἐν ἐφημερίσι φησίν.

Tzetz. in Ar. Ran. 35: κατάβα πανοῦργος. κατάβηθι λέγεται· τὸ χ δὲ γράφεται, ὅτι οὗτος ξενοτέρως ἀντὶ τοῦ κατάβηθι κατάβα εἶπεν. ὁ δὲ Τζέτζης Δωρικῶς φησι κατάβαθι· οἱ γὰρ Δωριεῖς κατάβαθι λέγουσι καὶ ἀποκοπῇ κατάβα, ὥσπερ ὁ Βελλεροφῶν Πελοποννασιστὶ λαλεῦμες.

---

1. 2. ἀποδρεπέσθεσαν] sic cod., ἀποδρέπεσθε substituit Keilius, qui dubitat an ἀποδρεπέσθωσαν Tzetzes scripserit. mihi et ipsi ἀποδρεπέσθωσαν probabilius videtur, quod ferri poterit, si ὑμεῖς τούτων in οἱ μὴ τοιοῦτοι mutaris. 9. ἕνη cod., ἕνην Keilius. 11. οὕνεκεν — αὖτις] versus Orphicus hoc uno loco tradi videtur. αὖτις] αὖθις ed. 12. Ὀρφεὺς ἐν ἐφημερίσι] cf. Lobeck. Aglaoph. p. 415. 428.

14. ξενοτέρως] mutare hanc formam non ausim, quamquam alia exempla desidero: sed nota sunt quae de comparativis κενότερος et στενότερος tradunt veteres grammatici, quorum testimonia calidius sprevit Meinekius Vind. Strab. p. 200. 16. 17. ὥσπερ — λαλεῦμες] Theocr. 15, 92. ὥσπερ] ὡς καὶ Theocr. Βελλεροφῶν] Βελλερόφων ed. Πελοποννασιστὶ] πελοποννᾳστὶ ed.

Tzetz. in Ar. Ran. 904: ἀλινδήθρας ἐπῶν] — — ταῦτα κατὰ ῥητόν εἰσι τῶν παλαιῶν· διὰ τοῦτο καὶ ἐκτὸς τὰς κορωνίδας παρεγγράφω, καὶ τὰ λοιπὰ ἐκ τῶν παλαιῶν νόει. μάταιος γὰρ ἂν εἴην καὶ ἀνάλγητος ἄνθρωπος, εἴπερ αὐτὸς μὲν ἱδρῶσι καὶ πόνοις γράφω πολλὰ συντελῆ καὶ λυσιτελέστατα, ὡς κἂν βραχείας ἐπιτυχὴς γινοίμην εὐχαριστίας, σὺ δὲ πολύ μοι ἐναντίας δίδως τὰς ἀμοιβάς.

Tzetz. in Ar. Ran. 931: ἐν νυξὶ καὶ οὐκ ἐν ἡμέραις σκοπεῖ, ὅτι διὰ τὴν τῶν θορύβων ἐν νυξὶν ἠρεμίαν αἱ ψυχικαὶ δυνάμεις ὀξύτεραι πρὸς νοητῶν ἀντιλήψεις, ὅθεν ἀρίστως καὶ Φωκυλίδης

νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρήν.

Tzetz. in Ar. Ran. 1225: Σιδώνιόν ποτ' ἄστυ. δευτέρου Φρίξου τοῦτό τινες ἀρχὴν εἶναι λέγουσι, ψεύδονται δέ· τοῦ γὰρ πρώτου Φρίξου τοῦτό ἐστιν ἀρχή, δευτέρου δὲ Φρίξου ἀρχή·

εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ
καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν.

κἂν οὐδὲν τούτων τῶν ψυχρῶν ἐνθαδὶ τεθειμένων ἐγίνωσκον, τίς ἡ λύμη; κἂν εἰ μὴ τυχαίως προεσχεδίασα ταῦτα, οὐδὲν ἂν ἐγίνωσκον τούτων, καίτοι σχεδὸν τὰ λοιπὰ τῶν λόγου ἀξίων εἰδὼς ἀπὸ στόματος. τέως τοῦτο ἀρχὴ τοῦ πρώτου Φρίξου ἐστί·

Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών,
Ἀγήνορος παῖς, ἦλθε Θηβαίαν χθόνα
Φοῖνιξ πεφυκώς, ἐκ δ' ἀμείβεται γένος
Ἑλληνικόν, Διρκαῖον οἰκήσας πέδον.
ᾗ δ' ἦλθ' ἀνάγκῃ πεδία Φοινίκης λιπών,
λέγοιμ' ἄν. ἦσαν τρεῖς Ἀγήνορος κόροι.

---

9. Φωκυλίδης] v. Bergk. Lyr. p. 359 ed. alt. 14. 15. εἰ μὲν — ἐναυστόλουν] Eur. fr. 818. 14. ἦμαρ] ἧμαρ ed. 16. ψυχρῶν] ψυχρῶς coniecit Keilius. τηθειμένων cod., τεθειμένων Keilius. 18. ἐπὶ ed., ἀπὸ scripsi. 20 — 25. Σιδώνιόν ποτ' — Ἀγήνορος κόροι] Eur. fr. 816. 22. Φοῖνιξ] Φοίνιξ ed. 23. οἰκήσας] οἰκίσας malim. 24. ἦλθεν cod., ἦλθ' Keilius.

πρώτου μὲν Φρίξου τοῦτο ἀρχή. τοῦ δὲ δευτέρου Φρίξου ἀρχὴ αὕτη·

εἰ μὲν τόδ' ἦμαρ πρῶτον ἦν κακουμένῳ
καὶ μὴ μακρὰν δὴ διὰ πόνων ἐναυστόλουν.

καὶ τί δεῖ μακρηγορεῖν; πολλάκις τῇδε ὁ κωμικὸς φλυαρεῖ μέχρι τέλους.

Tzetz. in Ar. Ran. 1320: οἰνάνϑας γάνος. οἱ παλαιοὶ παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου οἰνάνϑας τε τρέφει τὸν ἱερὸν βότρυν· δοκῶ δὲ προσφυέστερον καὶ πλησιαίτερον εἶναι τὸ ἐν Φοινίσσαις· οἶνα ϑ' ἃ καϑαμέριον στάζεις τὸν πολύκαρπον οἰνάνϑας.

